μέλειαν περί τε τοῦ εἱματισμοῦ καὶ τῶν λοιπῶν τῶν | ἐπιτεταγμένων μοι ἐν τῶι διαγράμματι. Πομπᾶς. Ἐν δὲ τᾶι πομπᾶι ἀγείστω Μνασίστρατος, ἔπειτεν ὁ ἱερεὺς τῶν θεῶν οἷς | τὰ μυστήρια γίνεται μετὰ τᾶς ἱερέας, ἔπειτα ἀγωνοθέτας, ἱεροθύται, οἱ αὐληταί· μετὰ δὲ ταῦτα αἱ παρθένοι αἱ ἱεραὶ καθὼς ἂν λά||χωντι, ἄγουσαι τὰ ἅρματα ἐπικείμενα<ς> κίστας ἐχούσας ἱερὰ μυστικά· εἶτεν ἁ θοιναρμόστρια ἁ εἰς Δάματρος καὶ αἱ ὑποθοιναρ|μόστριαι αἱ ἐμβεβακυῖαι, εἶτεν ἁ ἱέρεα τᾶς Δάματρος τᾶς ἐφ᾽ ἱπποδρόμωι, εἶτεν ἁ τᾶς ἐν Αἰγίλᾳ· ἔπειτεν αἱ ἱεραὶ κατὰ μίαν κα|θώς κα λάχωντι, ἔπειτεν οἱ ἱεροὶ καθώς κα οἱ δέκα διατάξωντι. Ὁ δὲ γυναικονόμος κλαρούτω τάς τε ἱερὰς καὶ παρθένους καὶ ἐπιμέλειαν | ἐχέτω ὅπως πομπεύωντι καθώς κα λάχωντι. Ἀγέσθω δὲ ἐν τᾶι πομπᾶι καὶ τὰ θύματα, καὶ θυσάντω τᾶι μὲν Δάματρι σῦν ἐπίτοκα, Ἑρμᾶ νι κριόν, Μεγάλοις θεοῖς δάμαλιν σῦν, Ἀπόλλωνι Καρνείωι κάπρον, Ἅγναι οἶν. Σκανᾶν. Σκανὰν δὲ μὴ ἐπιτρεπόντω οἱ ἱεροὶ μηθένα ἔχειν ἐν || τετραγώνωι μείζω ποδῶν τριάκοντα, μηδὲ περιτιθέμεν ταῖς σκαναῖς μήτε δέρρεις μήτε αὐλείας, μηδὲ ἐν ὧι ἂν τόπωι περιστεμ|ματώσωντι οἱ ἱεροὶ μηθένα τῶν μὴ ὄντων ἱερῶν ἔχειν σκανάν. Μηδὲ παρερπέτω μηθεὶς ἀμύητος εἰς τὸν τόπον ὅν κα περιστεμμα|τώσωντι. Χωραξάντω δὲ καὶ ὑδράνας. Ἀναγραψάντω δὲ καὶ ἀφ᾽ ὧν δεῖ καθαρίζειν καὶ ἃ μὴ δεῖ ἔχοντας εἰσπορεύεσθαι. Ἃ [μ]ὴ δεῖ ἔχειν | ἐν ταῖς σκαναῖς. Μηθεὶς κλίνας ἐχέτω ἐν τᾶι σκανᾶι μηδὲ ἀργυρώματα πλείονος ἄξια δραχμᾶν τριακοσιᾶν· εἰ δὲ μή, μὴ ἐπιτρεπόν|τω οἱ ἱεροί, καὶ τὰ πλεινάζοντα ἱερὰ ἔστω τῶν θεῶν. Ἀκοσμούντων. Ὅταν δὲ αἱ θυσίαι καὶ τὰ μυστήρια συντελεῖται, εὐφαμεῖν πάν||τας καὶ ἀκούειν τῶν παραγγελλομένων· τὸν δὲ ἀπειθοῦντα ἢ ἀπρεπῶς ἀναστρεφόμενον εἰς τὸ θεῖον μαστιγούντω οἱ ἱεροὶ | καὶ ἀποκωλυόντω τῶν μυστηρίων. Ῥαβδοφόρων. Ῥαβδοφόροι δὲ ἔστωσαν ἐκ τῶν ἱερῶν εἴκοσι, καὶ πειθαρχούντω τοῖς ἐπιτελούν|τοις τὰ μυστήρια, καὶ ἐπιμέλειαν ἐχόντω ὅπως εὐσχημόνως καὶ εὐτάκτως ὑπὸ τῶν παραγεγενημένων πάντα γίνηται, καθὼς ἂν | παραγγέλλωντι οἱ ἐπὶ τούτων τεταγμένοι· τοὺς δὲ ἀπειθοῦντας ἢ ἀπρεπῶς ἀναστρεφομένους μαστιγούντω. Ἂν δέ τις τῶν ῥα|βδοφόρων μὴ ποιεῖ καθὼς γέγραπται ἢ ἄλλο τι ἀδικοῖ ἢ ποιοῖ ἐπὶ καταλύσει τῶν μυστηρίων, κριθεὶς ἐπὶ τῶν ἱερῶν ἂν κατακριθεῖ μὴ || μετεχέτω τῶν μυστηρίων. Περὶ τῶν διαφόρων. Τὰ δὲ πίπτοντα διάφορα ἐκ τῶν μυστηρίων ἐγλεγόντω οἱ κατασταθέντες ὑπὸ | τοῦ δάμου πέντε. Εἰσφερόντω δὲ οἱ ἄρχοντες ἀνάνκαι πάντες, μὴ δὶς τοὺς αὐτούς, τίμαμα ἔχοντα ἕκαστον μὴ ἔλασσον

ταλάν|του, καὶ τῶν κατασταθέντων παραγραψάτω ἁ γερουσία τὸ τίμαμα, ὡσαύτως δὲ καὶ τὸ τῶν εἰσενεγκάντων. Τοῖς δὲ ἐγλογευόντοις | τὰ διάφορα λειτουργείτω ὁ ἀργυροσκόπος. Ὅταν δὲ ἐπιτελεσθεῖ τὰ μυστήρια, ἀπολογισάσθωσαν ἐμ πάντοις ἐν τᾶι πρώται συν|νόμωι συναγωγᾶι τῶν συνέδρων, καὶ γραφὰν ἀποδόντω τῶι ἐπιμελητᾶι παραχρῆμα γράφοντες ἐπ᾽ ὀνόματος τὰ πεπτωκότα δι[ά]|φορα ἀπὸ τοῦ καθαρμοῦ, καὶ ἀπὸ τῶν πρωτομυστᾶν τὸ ὑποστατικὸν καὶ ἄν τι ἄλλο πέσει, καὶ τὴν γεγενημέναν ἔξοδον καὶ τί ἂν εἶ | λοιπόν, καὶ ἀριθμησάντω παραχρῆμα τῶι ταμίαι καὶ ἔστωσαν ὑπόμαστροι, ἄν τι εὑρίσκωνται ἀδικοῦντες, διπλασίου καὶ ἐπιτιμίου | [δραχ]μᾶν χ[ι]λιᾶν, καὶ οἱ δικαστ[αὶ μ]ὴ ἀφαιρούντω μηθέν· οἱ δ᾽ ἐν τῶι πέμπτωι καὶ πεντηκοστῶι ἔτει κατεσταμένοι ἐξοδιασάντω καὶ Μνα|[σισ]τράτωι τὸ διδόμενο[ν αὐτῶι] διάφορον εἰς τὸν στέφανον ὑπὸ τῆς [πό]λεος, δραχμὰς ἑξακισχιλίας· ἀποδόντω δὲ τῶι ταμίαι καὶ ὅσαι κα εἶ | [πρ]οεξωδιασμένα διάφορα ὑπὸ τοῦ ταμίου ἐ[ν τῶι πέμπτωι καὶ πεντηκοστῶι] ἔτε[ι εἰς τὰ] κ[α]τασκευαζό[μενα] ἐν [τῶ]ι Καρνει||ασίωι ἢ δαπανούμενα χάριν τῶν μυστηρίων. Τὸ δὲ [λοιπὸν ἐκ τῶν διαφόρων τούτου τοῦ ἔτους] ἐξοδιαζόντ[ω οἱ πέντε εἰς τὰ] ἐπισκ[ευα]|ζόμενα ἐν τῶι Καρνειασίωι, καὶ ἄν τινος ἔτι χρεία εἶ [παρὰ ταύτας τὰς] ποθόδους, φερόντω γράφοντες ῥη[τῶς εἰς] ὃ ἂν χρεία εἶ, καὶ οἱ ἄρχον|τες καὶ οἱ σύνεδροι δογματοποιείσθωσαν ὅτι δεῖ τὸν ταμίαν [ἐγδόμεν] τὰ διάφορα. Ἀπὸ δὲ τῶν πιπτόντων ἐκ τῶν μυστηρίων ἀποκαθι|στάσθω τῶι ταμίαι τὰ διάφορα, καὶ ἀποδόντω γραφὰν τῶι ἐπιμελητᾶι περὶ ὧν κα διοικήσωντι, καὶ ἔστωσαν ὑπόμαστροι ἄν τι ἀδικήσωντι, κα|θὼς ἐπάνω γέγραπται. Ὁ δὲ ταμίας ὅσον κα παραλάβει διάφορον λοιπὸν ἐκ τούτων, γραφέτω ἐν ὑπεχθέματι εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῶι || Καρνειασίωι, καὶ μὴ ἀναχρησάσθω εἰς ἄλλο μηθέν, μέχρι ἂν ἐπιτελεσθεῖ ὅσων χρεία ἐστὶ ποτὶ τὰν τῶν μυστηρίων συντέλειαν· μηδὲ γρα|ψάτω μηθεὶς δόγμα, ὅτι δεῖ ταῦτα τὰ διάφορα εἰς ἄλλο τι καταχρήσασθαι· εἰ δὲ μή, τό τε γραφὲν ἀτελὲς ἔστω καὶ ὁ γράψας ἀποτεισάτω δρα|χμὰς δισχιλίας, ὁμοίως δὲ καὶ ὁ ταμίας ὅ τι κα ἐξοδιάσει διπλοῦν καὶ δραχμὰς δισχιλίας, καὶ οἱ δικασταὶ μὴ ἀφαιρούντω μηθέν, καὶ τὰ πίπτοντα | ἐκ ταυτᾶν τᾶν κρισίων διάφορα ὑπαρχέτω εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῶι Καρνειασίωι. Ὅταν δὲ ἐπιστελεσθεῖ ὅσων χρεία ἐστὶ ποτὶ τὸ συν|τελεῖν τὰ μυστήρια, ὑπαρχέτω τὰ πίπτοντα διάφορα τῶν μυστηρίων εἰς τὰς τᾶς πόλεος ἐσόδους. Θυμάτων παροχᾶς. Οἱ ἱεροὶ μετὰ τὸ κα||τασταθῆμεν προκαρύξαντες ἐγδόντω τὰν παροχὰν τῶν θυμά-

των ὧν δεῖ θύεσθαι καὶ παρίστασθαι ἐν τοῖς μυστηρίοις καὶ τὰ εἰς τοὺς ¦ καθαρμούς, ἐγδιδόντες ἄν τε δοκεῖ συνφέρον εἶμεν ε[ἰς] τὸ αὐτὸ πάντα τὰ θύματα, ἄν τε κατὰ μέρος, τῶι τὸ ἐλάχιστον ὑφισταμένωι | λάμψεσθαι διάφορον. Ἔστι δὲ ἃ δεῖ παρέχειν πρὸ τοῦ ἄρχεσθαι τῶν μυστηρίων· ἄρνας δύο λευκούς, ἐπὶ τοῦ καθαρμοῦ κριὸν εὔχρουν, καὶ ὅταν | ἐν τῶι θεάτρωι καθαίρει, χοιρίσκους τρεῖς, ὑπὲρ τοὺς πρωτομύστας ἄρνας ἑκατόν, ἐν δὲ τᾶι πομπᾶι Δάματρι σῦν ἐπίτοκα, τοῖς δὲ Μεγάλοις ¦ θεοῖς δάμαλιν διετῆ σῦν, Ἑρμᾶνι κριόν, Ἀπόλλωνι Καρνείωι κάπρον, Ἅγναι οἶν· ὁ δὲ ἐγδεξάμενος κατεγγυεύσας ποτὶ τοὺς ἱεροὺς λα||βέτω τὰ διάφορα καὶ παριστάτω τὰ θύματα εὐίερα καθαρὰ ὁλόκλαρα, καὶ ἐπιδειξάτω τοῖς ἱεροῖς πρὸ ἁμερᾶν δέκα τῶν μυστηρίων· τοῖς | δὲ δοκιμασθέντοις σαμεῖον ἐπιβαλόντω οἱ ἱεροί, καὶ τὰ σαμειωθέντα παριστάτω ὁ ἐγδεξάμενος· ἂν δὲ μὴ παριστᾶι ἐπὶ τὰν δοκιμασί|αν, πρασσόντω οἱ ἱεροὶ τοὺς ἐγγύους αὐτὸ καὶ τὸ ἥμισυ, τὰ δὲ θύματα αὐτοὶ παρεχόντω καὶ ἀπὸ τῶν πραχθέντων διαφόρων κομισάσθωσαν | τὰν γενομέναν δαπάναν εἰς τὰ θύματα. Τεχνιτᾶν εἰς τὰς χοριτείας. Οἱ ἱεροὶ προγραφόντω κατ' ἐνιαυτὸν τοὺς λειτουργήσοντας ἔν | τε ταῖς θυσίαις καὶ μυστηρίοις αὐλητὰς καὶ κιθαριστάς, ὅσους κα εὑρίσκωντι εὐθέτους ὑπάρχοντας, καὶ οἱ προγραφέντες λειτουργούντω || τοῖς θεοῖς. Ἀδικημάτων. Ἂν δέ τις ἐν ταῖς ἁμέραις, ἐν αἷς αἵ τε θυσίαι καὶ τὰ μυστήρια γίνονται, ἁλῶι εἴτε κεκλεβὼς εἴτε ἄλλο τι ἀδίκη|μα πεποιηκώς, ἀγέσθω ἐπὶ τοὺς ἱερούς, καὶ ὁ μὲν ἐλεύθερος ἂν κατακριθεῖ ἀποτινέτω διπλοῦν, ὁ δὲ δοῦλος μαστιγούσθω καὶ ἀποτεισάτω δι|πλοῦν τὸ κλέμμα, τῶν δὲ ἄλλων ἀδικημάτων ἐπιτίμιον δραχμὰς εἴκοσι· ἂν δὲ μὴ ἐκτίνει παραχρῆμα, παραδότω ὁ κύριος τὸν οἰκέταν τῶι ἀ¦δικηθέντι εἰς ἀπεργασίαν, εἰ δὲ μή, ὑπόδικος ἔστω ποτὶ διπλοῦν. Περὶ τῶν κοπτόντων ἐν τῶι ἱερῶι. Μηθεὶς κοπτέτω ἐκ τοῦ ἱεροῦ τόπου· | ἂν δέ τις ἁλῶι, ὁ μὲν δοῦλος μαστιγούσθω ὑπὸ τῶν ἱερῶν, ὁ δὲ ἐλεύθερος ἀποτεισάτω ὅσον κα οἱ ἱεροὶ ἐπικρίνωντι· ὁ δὲ ἐπιτυχὼν ἀγέτω || αὐτοὺς ἐπὶ τοὺς ἱεροὺς καὶ λαμβανέτω τὸ ἥμισυ. Φύγιμον εἶμεν τοῖς δούλοις. Τοῖς δούλοις φύγιμον ἔστω τὸ ἱερόν, καθὼς ἂν οἱ ἱεροὶ | ἀποδείξωντι τὸν τόπον, καὶ μηθεὶς ὑποδεχέσθω τοὺς δραπέτας μηδὲ σιτοδοτείτω μηδὲ ἔργα παρεχέτω· ὁ δὲ ποιῶν παρὰ τὰ γεγραμ|μένα ὑπόδικος ἔστω τῶι κυρίωι τᾶς τοῦ σώματος ἀξίας διπλασίας καὶ ἐπιτιμίου δραχμᾶν πεντακοσιᾶν· ὁ δὲ ἱερεὺς ἐπικρινέ|τω περὶ τῶν δραπετικῶν ὅσοι κα ἧνται ἐκ τᾶς ἁμετέρας πόλεος, καὶ ὅσους κα κατακρίνει, παραδότω τοῖς κυρίοις· ἂν δὲ

Sur les troncs (Θησαυροί) découverts à Thera voy. Hiller von Gaertringen *Thera* I (1899), p. 260 suiv.
— à Cos voy. R. Herzog, *Archäologischer Anzeiger*, 1903, p. 190 et Abb. 4.

μὴ παραδιδῶι, ἐξ[έσ]|τω τῶι κυρίωι ἀποτρέχειν ἔχοντι. Περὶ τᾶς κράνας. Τᾶς δὲ κράνας τᾶς ὠνοιμασμένας διὰ τῶν ἀρχαίων ἐγγράφων Ἅγνας καὶ τοῦ γε[γε]||νημένου ποτὶ τᾶι κράναι ἀγάλματος τὰν ἐπιμέλειαν ἐχέτω Μνασίστρατος ἕως ἂν ζεῖ, καὶ μετεχέτω μετὰ τῶν ἱερῶν τᾶν τε θυσι|ᾶν καὶ τῶν μυστηρίων, καὶ ὅσα κα οἱ θύοντες ποτὶ τᾶι κράναι τραπεζῶντι καὶ τῶν θυμάτων τὰ δέρματα λαμβανέτω Μνασίστρατος. | Τῶν τε διαφόρων ὅσα κα οἱ θύοντες ποτὶ τᾶι κράναι προτιθῆντι ἢ εἰς τὸν θησαυρόν, ὅταν κατασκευασθεῖ, ἐμβάλωντι, λαμβανέτω Μνα|σίστρατος τὸ τρίτον μέρος· τὰ δὲ δύο μέρη καὶ ἄν τι ἀνάθεμα ὑπὸ τῶν θυσιαζόντων ἀνατιθῆται, ἱερὰ ἔστω τῶν θεῶν· ὁ δὲ ἱερεὺς καὶ οἱ ἱε|ροὶ ἐπιμέλειαν ἐχόντω, ὅπως ἀπὸ τῶν διαφόρων ἀναθέματα κατασκευάζηται τοῖς θεοῖς, ἃ ἂν τοῖς συνέδροις δόξει. Θησαυρῶν κατασκευ||[ᾶ]ς. Οἱ ἱεροὶ οἱ κατεσταμένοι ἐν τῶι πέμπτωι καὶ πεντηκοστῶι ἔτει ἐπιμέλειαν ἐχόντω μετὰ τοῦ ἀρχιτέκτονος ὅπως κατασκευασ|[θ]ῆντι θησαυροὶ λίθινοι δύο κλαικτοί, καὶ χωραξάντω τὸν μὲν ἕνα εἰς τὸν ναὸν τῶν Μεγάλων θεῶν, τὸν δ᾽ ἄλλον ποτὶ τᾶι κράναι ἐν ὧι ἂν τόπ|ωι δοκεῖ αὐτοῖς ἀσφαλῶς ἕξειν· καὶ ἐπιθέντω κλᾶικας, καὶ τοῦ μὲν παρὰ τᾶι κράναι ἐχέτω τὰν ἁτέραν κλᾶικα Μνασίστρατος, τὰν δὲ ἄλ|[λ]αν οἱ ἱεροί, τοῦ δὲ ἐν τῶι ναῶι ἐχόντω τὰν κλᾶικα οἱ ἱεροί, καὶ ἀνοιγόντω κατ᾽ ἐνιαυτὸν τοῖς μυστηρίοις, καὶ τὸ ἐξαριθμηθὲν διάφορον ἐ[ξ] | ἑκατέρου τοῦ θησαυροῦ χωρὶς γράψαντες ἀνενεγκάντω· ἀποδόντω δὲ καὶ Μνασιστράτωι τὸ γινόμενον αὐ[τῶι] διάφορον, καθὼς ἐν [τῶι] || διαγράμματι γέγραπται. Ἱεροῦ δείπνου. Οἱ ἱεροὶ ἀπὸ τῶν θυμάτων τῶν ἀγομένων ἐν τᾶι πομπᾶι ἀφελόντες ἀφ᾽ ἑκάστου τὰ νόμ[ιμα] | τοῖς θεοῖς, [τὰ λοι]πὰ κρέα καταχρησάσθωσαν εἰς τὸ ἱερὸν δεῖπνον μετὰ τᾶν ἱερᾶν καὶ παρθένων, καὶ παραλαβόντω τόν τε ἱερῆ | [καὶ τὰν] ἱέρεαν, κ[αὶ τὰ]ν ἱέρεαν τοῦ Καρνείου καὶ Μνασίστρατον καὶ τὰν γυναῖκά τε καὶ τὰς γενεὰς αὐτοῦ καὶ τῶν τεχνιτᾶν τοὺς λει|[τουργή]σαντας [ἐν ταῖ]ς χορείαις καὶ τᾶν ὑπηρεσιᾶν τοὺς λειτουργοῦντας αὐτοῖς· καὶ εἰς τὰ λοιπὰ δαπανάματα μὴ πλεῖον ἀνάλωμα | [π]οιοῦ[ν]τες δραχμᾶν ---. Ἀγορᾶς. Οἱ ἱεροὶ τόπον ἀποδειξάντω ἐν ὧι πραθήσεται πάντα· ὁ δὲ ἀγορανόμος ὁ ἐπὶ πόλεος <επι> [ἐ]πιμέλειαν ἐχέτω, ὅπως οἱ πωλοῦντες ἄδολα καὶ καθαρὰ πωλοῦντι καὶ χρῶνται σταθμοῖς καὶ μέτροις συμφώνοις ποτὶ τὰ δαμόσια, καὶ | [μ]ὴ τασσέτω [μ]ή[τε] πόσου δεῖ πωλεῖν, μηδὲ καιρὸν τασσέτω μηδὲ πρασσέτω μηθεὶς τοὺς πωλοῦντας τοῦ τόπου μηθέν· τοὺς δὲ μὴ πω|λοῦντας καθὼς γέγραπται, τοὺς μὲν δούλους μαστιγούτω, τοὺς δὲ ἐλευθέρους

ζαμιούτω εἴκοσι δραχμαῖς, καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱε[ρῶν]. Ὕδατος. Ἐχέτω δὲ ἐπιμέλειαν ὁ ἀγορανόμος καὶ περὶ τοῦ ὕδατος, ὅπως κατὰ τὸν τᾶς παναγύριος χρόνον μηθεὶς κακοποιεῖ μήτε | [τὸ] ἤλημα μήτε τοὺς ὀχετοὺς μήτε ἄν τι ἄλλο κατασκευασθεῖ ἐν τῶι ἱερῶι χάριν τοῦ ὕδατος, καὶ ὅπως, καθὼς ἂν μερισθεῖ, ῥεῖ τὸ ὕδωρ καὶ μ[η]θεὶς ἀ]ποκωλύει τοὺς χρωμένους· ἂν δέ τινα λαμβάνει ποιοῦντά τι τῶν κεκωλυμένων, τὸν μὲν δοῦλον μαστιγούτω, τὸν δὲ ἐλεύθερ[ον | ζαμιούτω] εἴκοσι δραχμαῖς, καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱερῶν. Ἀλείμματος καὶ λουτροῦ. Ὁ ἀγορανόμος ἐπιμέλειαν ἐχέτω, ὅπως οἱ θέλοντες | [βαλανεύε]ιν ἐν τῶι ἱερῶι μὴ πλεῖον πράσσωντι τοὺς λουομένους δύο χαλκῶν καὶ παρέχωντι πῦρ καὶ μάκραν εὔκρατον καὶ τοῖς κατακλυ|[ζομένοις ὕ]δωρ εὔκρατον, καὶ ὅπως ὁ ἐγδεξάμενος τῶν ξύλων τὰν παροχὰν εἰς τὸ ἀλειπτήριον παρέχει ξύλα ξηρὰ καὶ ἱκανὰ τοῖς ἀλει[φομένοις] κατ' ἁμέραν ἀπὸ τετάρτας ὥρας ἕως ἑβδόμας· δοῦλος δὲ μηθεὶς ἀλειφέσθω. Οἱ δὲ ἱεροὶ ἐγδιδόιντω τὰν παροχὰν τῶν ξύλ[ω]ν || [εἰς τὸ] ἀλειπτήριον· ἂν δέ τις τῶν ἐγδεξαμένων ἢ τῶν βαλανέων μὴ ποιεῖ καθὼς γέγραπται, τὸν μὲν δοῦλον μαστιγούτω ὁ ἀγορ[α]νό|[μος, τ]ὸν δὲ ἐλεύθ(ε)ρον ζαμιούτω καθ' ἕκαστον ἀδίκημα εἴκοσι δραχμαῖς, καὶ τὸ κρίμα ἔστω ἐπὶ τῶν ἱερῶν. Συνέσιος ἀναφορᾶς. Οἱ ἱε|[ροὶ ὅσ]α κα διοικήσωντι ἐν τᾶι παναγύρει ἢ κατακρίνωντί τινας, σύνεσιν ἀνενεγκάντω εἰς τὸ πρυτανεῖον· ἀναγραψάντω δὲ καὶ | [εἰς τ]ὸν οἶκον τὸν ἐν τῶι ἱερῶι οὓς ἂν κατακρίνωντι καὶ ἐπὶ ποίωι ἀδικήματι. Ἀντίγραφον ἔχειν τοῦ διαγράμματος. Οἱ κατεσταμέ[νοι ὥ]στε γράψαι τὸ διάγραμμα καθὼς ἂν δοκιμασθεῖ δόντω τοῖς νομοδείκταις ἀντίγραφον· οἱ δὲ λαβόντες ἐπιδεικνυόντω τῶι || [χρεία]ν ἔχοντι. Καὶ ἐν τοῖς μυστηρίοις συνλειτουργούντω τοῖς ἱεροῖς καὶ ὁ κᾶρυξ καὶ αὐλητὰς καὶ μάντις καὶ ἀρχιτέκτων. | [Τᾶς κατα]στάσιος τῶν δέκα. Οἱ δαμιοργοὶ τοῦ ἕκτου μηνὸς τᾶι δωδεκάται πρὸ τοῦ τὸν καιρὸν τῶν ἱερῶν | [κ]αὶ τὰν ἱερᾶν γί[νεσθαι ἀποδόντ[ω] | τῶι δάμωι χειροτο||νίαν ὅπως καταστά|σει ἐκ πάντων τῶν | πολιτᾶν δέκα μὴ | νεωτέρους ἐτῶν | τεσσαράκοντα μη||[δ]ὲ δὶς τοὺς αὐτοὺς τ|[ὸ]ν γ' ἰὸν ἐνιαυτόν. Π[ο|τ]εισφερόντω δὲ οἵ τε | ἄρχοντες καὶ τῶν | ἄλλων ὁ θέλων, εἰσ||φέροντες ἐξ ὧν γέ γραπται τοὺς ἱεροὺς | κλαροῦσθαι· τοὺς δὲ | κατασταθέντας ὁ[ρ]||κιξάτω ὁ γραμματεὺς || τῶν συνέδρων τὸν | ὅρκον ὃν οἱ ἱεροὶ ὀμν[ύ]|οντι. Ἐχόντω δὲ οἱ κα|τασταθέντες ἐπι|μέλειαν περὶ πάν||των ὧν δεῖ ἐν τοῖς μυσ|τηρίοις συντελεῖσθαι, καὶ φροντιζόντω ὅσων χρεία ἐστὶ εἰς | τὸ ἐπιτελεῖσθαι

τὰ | μυστήρια. Προγρα|φόντω δὲ ἐκ τῶν ἱε|ρῶν καὶ ῥαβδοφόρους | τοὺς εὐθετωτάτους, | ὁμοίως δὲ καὶ μυστα||γωγούς. Τοὺς δὲ συν λειτουργήσοντας | μετὰ Μνασιστρά||[τ]ου προγραφόντω ἄν [τ]ινας εὑρίσκωντι εὐ||θέτους ὑπάρχοντας | καὶ τῶν μὴ ὄντων ἱε|ρῶν· καὶ οἱ προγραφέν|τες πειθαρχούντω | καὶ ἐπιτελούντω ὃ ἂν | προγραφῆντι· τὸν δὲ | μὴ ποιοῦντα κατακρι|νάντω εἴκοσι δρα||[χ]μαῖς καὶ ἐγγραψάν τω εἰς τοὺς πολεμάρ|χους. Οἱ δὲ ῥαβδοφόροι | μαστιγούντω οὓς κα | οἱ δέκα κελεύωντι· | οἱ δὲ κατασταθέν|τες δέκα κρινόντω || [τ]ὰ κ[ρίμα]τα [πάντα].

Ἄ[ν δὲ χρεία εἶ πε]||ρί τινος διαβούλιον [γί]|νεσθαι, συναγόντω | οἱ δέκα πάντες τοὺς ἱ|ερούς, καὶ καθὼς τοῖς | πλειόνοις δόξαι, ἐπιτε|λείσθω. Φορούντω δὲ οἱ | δέκα ἐν τοῖς μυστηρί|οις στρόφιον πορφύριον. || Ἀγράφων. Εἰ δέ τινα | ἄγραφά ἐστι ἐν τῶι δι|αγράμματι ποτὶ τὰν τῶν μυστηρίων καὶ | τὰν θυσιᾶν συντέλει|αν, βουλευέσθωσαν οἱ | σύνεδροι, μὴ μετακι|νοῦντες ἐπὶ καταλ[ύ]|σει τῶν μυστηρίων μ[η]|θὲν τῶν κατὰ τὸ διά|γραμμα· εἰ δὲ μή, τὸ | γραφὲν ἀτελὲς ἔστω· | τὸ δὲ διάγραμμα κύρι|ον ἔστω εἰς πάντα τὸν | χρόνον.

695. Tégée (Arcadie). **Règlement relatif au temple d'Athéna Aléa**. (Comm. du IVe s. av. J.-C.)

Plaque de marbre blanc, brisée en bas. Trouvée près de Piali (Arcadie). Στοιχηδόν. — Bérard, *Bull. de Corr. Hell.*, XIII (1889), p. 281 s. (trad.) — Meister, *Ber. d. sächs. Akad.*, 1889, p. 71 s. (trad.) — Danielsson, *Epigraphica*, Upsal, 1890. — Hoffmann, *Griech. Dial.*, I, p. 23. — Rœhl, *Imagines*, 2e éd., p. 33, n° 9. — Cf. Bérard, *Bull. de Corr. Hell.*, XVII, (1893), p. 1 s. — Immerwahr, *Kulte und Mythen Arkadiens*, I, p. 47 s. — Frazer, *Pausanias's Description of Greece*, IV, p. 426.

Τὸν hιερὲν πέντε καὶ εἴκοσι οἶς νέμεν καὶ ζεῦγο|ς καὶ αἶγα· εἰ δ' ἂν καταλλάσσε, ἰνφορβισμὸν ἔναι· τ|ὸν hιερομνάμονα ἰνφορβίεν· εἰ δ' ἂν λευτὸν μὲ ἰνφ|ορβίε, hεκοτὸν δαρχμὰς ὀφλε͂ν ἰν δᾶμον καὶ κάταρ||Fον ἔναι :: Το͂ν hιεροθυτᾶν νέμεν ἰν Ἀλέαι, ὅτι ἂν ἀ|σκεθὲς ἐ· τὰ δ' ἀνασκεθέα ἰνφορβίεν, μεδ' ἐσπερᾶσα|ι, παρ' ἂν λέγε hιεροθυτές· εἰ δ' ἂν ἐσπεράσε, δυόδεκ|ο δαρχμὰς ὀφλε͂ν ἰν δᾶμον. :: Τᾶς Τριπαναγόρσιος τ|ὰς ὑστέρας τρῖς ἀμέρας νέμεν, ὅ τι <h>ἂν βόλετοι, ὃς || μὲ ἰν το͂ι περιχόροι· εἰ δ' ἂν ἰν το͂ι περιχόροι, ἰνφο|ρβίεν. :: Ἰν Ἀλέαι μὲ νέμεν μέτε ξένον μέτε Fαστόν, | εἰ μὲ ἐπὶ θοίναν hίκοντα· το͂ι δὲ ξένοι καταγομέν|οι ἐξε͂ναι ἀμέραν καὶ νύκτα νέμεν ἐπιζύγιον· εἰ δ' | ἂν παρ τάνυ νέμε, τὸ μὲν με͂ζον πρόβατον δαρχμὰν ὀ||φλε͂ν, τὸ δὲ με͂ιον ἰνφορβίεν. :: Τὰ hιερὰ πρόβατα μὲ | νέμεν ἰν Ἀλέαι πλὸς ἀμέ-

ρας καὶ νυκτός, εἰ κ᾽ ἂν διε|λαυνόμενα τύχε· εἰ δ᾽ ἂν νέμε, δαρχμὰν ὀφλὲν τὸ πρό|βατον Fέκαστον τὸ μεῖζον, τôν δὲ μειόνον προβάτο|ν ὀδελὸν Fέκαστον, τâν συôν δαρχμὰν Fεκάσταυ, ε[ἰ] || μὲ παρhεταξαμένος τὸς πεντέκοντα ἒ τὸς τριακα|σίος. :: Εἰ κ᾽ ἐπὶ δôμα πῦρ ἐποίσε, — δυόδεκο δαρχμὰς | ὀφλêν, τὸ μὲν ἕμισυ τâι θεôι, τὸ δ᾽ ἕμισυ τοῖς hιερο|μνάμονσι. :: Εἴ κ᾽ ἂν παραμαξεύε θυσθêν τâς κελε[ύθ]ο τâς κακειμέναυ κατ᾽ Ἀλέαν, τρîς ὀδελὸς ὀφλê[ν ἀν]||τὶ Fεκάσταυ, τὸ μὲν hέμισυ τâι θεôι, τὸ δ᾽ ἕμισ[υ τοῖ]|ς hιερομνάμονσι :: Τâι Παναγόρσι τὸς hιερ[ομνάμ]|ονας ἀρτύεν τὰ ἰν ταῖς ἰνπολαῖς πάντα [.......τ]|ὸς δαμιοργό[ς. —] Τὸν κόπρον τὸν ἀπὺ δοσ.........|. τâι hεβδόμαι τô Λεσχανασίο μενός· [εἰ δ᾽ ἂν μὲ ὀδε||λὸ]ν ὀφλêν :: Τὸν Παναγόρσιον μêνα το..........|....ζεν τοῖς ξένοις εἰ κατάγοι τâι ....|.....εἰ δ᾽ ἀπιόντα ει......................|......ν δάμοι ἐφαπ-----------|-----αι τὸς ι------------|--- ---νον---

696. Tégée. **Intitulé d'une loi religieuse.** (iiie s. [?] av. J.-C.)

Stèle brisée avec corniche et fronton, trouvée à Tégée. — Bérard, *Bull. de Corr. Hell.*, XVII (1893), p. 12.

Νόμος ἱερὸς ἰν ἄματα πάντα.

697. Phigalie (Arcadie). **Fragment de règlement religieux.** (ier s. av. J.-C.)

Trouvé à Phigalie. — Lebas-Foucart, 329. — Dittenberger, 392. — Immerwahr, *Kulte und Mythen Arkadiens,* I, p. 186.

-----ωπας. Ἂν | [δὲ πο]ιῆ[ι] ἁ πόλις τὰ Διονύσια ἐ|ν τῶι ἐνιαυτῶι ἐν ὧι δεῖ τὰ Ἀνδρίνε|α γίνεσθαι, γινέσθω παρὰ τρία.

698. Oropos. **Règlement du temple d'Amphiaraos.** (1re moitié du ive s. av. J.-C.)

Stèle de marbre blanc, trouvée dans l'Amphiaraion. Στοιχηδόν. — Léonardos, Εφημ. Ἀρχ., 1885, p. 93 s. — Wilamowitz, *Hermes*, XXI (1886), p. 91 s. (trad. comm.) — Bechtel, *Inschr. d. Ion. Dial.*, 18. — C.I.G.S., I, 235a. — Hoffmann, *Griech. Dial.*, III, p. 16, no 25. — Cf. Dürrbach, *De Oropo et Amphiarai sacro,* p. 117 s. — Frazer, *Pausanias's Description of Greece*, II, p. 470. — On a retrouvé deux autres morceaux de la même stèle, mais le texte en est presque illisible (cf. C.I.G.S., I, 235b, c).

Θεοί. — | Τὸν ἱερέα τοῦ Ἀμφιαράου φοιτᾶν εἰς τὸ ἱερὸ|ν ἐπειδὰν χειμὼν παρέλθει μέχρι ἀρότου ὥρ|ης, μὴ πλέον διαλείποντα ἢ τρεῖς ἡμέρας, καὶ || μένειν ἐν τôι ἱερôι,μὴ ἔλαττον ἢ δέκα ἡμέρα|ς

τοῦ μηνὸς ἐκ[ά]στο : καὶ ἐπαναγκάζειν τὸν ν|εωκόρον τοῦ τε ἱεροῦ ἐπιμελεῖσθαι κατὰ τὸ|ν νόμον καὶ τῶν ἀφικνε(ο)μένων εἰς τὸ ἱερόν. — |Ἂν δέ τις ἀδικεῖ ἐν τôι ἱερôι ἢ ξένος ἢ δημότ||ης, ζημιούτω ὁ ἱερεὺς μέχρι πέντε δραχμέων | κυρίως καὶ ἐνέχυρα λαμβανέτω τοῦ ἐζημιωμ|ένου· ἂν δ᾽ ἐκτίνει τὸ ἀργύριον παρέοντος τô | ἱερέος ἐμβαλέτω εἰς τὸν θησαυρόν. : Δικάζει|ν δὲ τὸν ἱερέα, ἄν τις ἰδίει ἀδικηθεῖ ἢ τῶν ξέ||νων ἢ τῶν δημοτέων ἐν τôι ἱερôι μέχρι τριῶν | δραχμέων· τὰ δὲ μέζονα ἧχοῖ ἑκάστοις αἱ δίκ|αι ἐν τοῖς νόμοις εἴρηται, ἐντôθα γινέσθων. — | Προσκαλεῖσθαι δὲ καὶ αὐθημερὸν περὶ τῶν ἐ|ν τôι ἱερôι ἀδικιῶν, ἂν δὲ ὁ ἀντίδικος μὴ συνχ||ωρεῖ, εἰς τὴν ὑστέρην ἡ δίκη τελείσθω. : Ἐπαρ|χὴν δὲ διδοῦν τὸμ μέλλοντα θεραπεύεσθαι ὑ|πὸ τοῦ θεοῦ μὴ ἔλαττον ἐννεοβόλου δοκίμου ἀργ|υρίου καὶ ἐμβάλλειν εἰς τὸν θησαυρὸν παρε όντος τοῦ νεωκόρου .... Κατεύχεσθαι δὲ τῶν ἱερῶν καὶ ἐπ|ὶ τὸν βωμὸν ἐπιτιθεῖν, ὅταν παρεῖ, τὸν ἱερέα, | ὅταν δὲ μὴ παρεῖ, τὸν θύοντα. Καὶ τêι θυσίει α|ὐτὸν ἑαυτôι κατεύχεσθαι ἕκαστον, τῶν δὲ δη|μορίων τὸν ἱερέα — τῶν δὲ θυομένων ἐν τôι ἱε|ρôι πάντων τὸ δέρμα [λαμβάνειν. —] Θύειν δὲ ἐξ|εῖν ἅπαν ὅ τι ἂν βόληται ἕκαστος, τῶν δὲ κρεῶ|ν μὴ εἶναι ἐκφορὴν ἔξω τοῦ τεμένεος. — Τôι δὲ | ἱερεῖ διδοῦν τὸς θύοντας ἀπὸ τοῦ ἱερήου ἑκ|άστο τὸν ὦμον, πλὴν ὅταν ἡ ἑορτὴ εἶ· τότε δὲ ἀπ||ὸ τῶν δημορίων λαμβανέτω ὦμον ἀφ᾽ ἑκάστου — | — τοῦ ἱερήου. — Ἐγκαθεύδειν δὲ τὸν δειόμενο|ν ------------------ | --------------- πειθόμ|ενον τοῖς νόμοις. — Τὸ ὄνομα τοῦ ἐγκαθεύδον||τος ὅταν ἐμβάλλει τὸ ἀργύριον, γράφεσθαι τ|ὸν νεωκόρον καὶ αὐτοῦ καὶ τῆς πόλεος καὶ ἐκ|τιθεῖν ἐν τôι ἱερôι γράφοντα ἐν πετεύροι σ|κοπεῖν [τ]ôι βολομένοι· ἐν δὲ τôι κοιμητηρίο|ι καθεύδειν χωρὶς μὲν τὸς ἄνδρας χωρὶς — || δὲ τὰς γυναῖκας, τοὺς μὲν ἄνδρας ἐν τôι πρὸ ἠ|ôς τοῦ βωμοῦ, τὰς δὲ γυναῖκας ἐν τôι πρὸ ἡσπέ||[ρης .... τὸ κοι]μητήριον τοὺς ἐν||[καθεύδοντας -------

699. Oropos. **Décret relatif à la célébration des Ptoïa.** (Fin du III^e s. av. J.-C.)

Base de marbre blanc, trouvée dans l'Amphiaraion et portant un grand nombre d'inscriptions. — C.I.G.S., I, 351 (incomplet). — Léonardos, Ἐφημ. Ἀρχ., 1892, p. 41 s.

Ἐπικράτης Ἀρχίππου εἶπεν ὑπὲρ ἱερῶν· Ἐπειδὴ συμβαίνει τὴμ πόλιν Ἀκραιφιείων ἀποστεῖλαι πρεσβευτὰς τρεῖς ἄνδρας τοὺς δια|λεξομένους μετὰ τοῦ ἱερέως καὶ τοῦ προφήτου πρὸς

τὰς πόλεις | τὰς ἐν τῆι Βοιωτίαι καὶ παραγενόμενοι εἰς τὴν ἐκκλησίαν τό τε ψήφισ|μα ἀνέγνωσαν τὸ παρὰ τῶν Ἀκραιφιείων καὶ παρεκαλοῦσαν τὸν | δῆμον συναύξειν τὴν θυσίαν τῶι Ἀπόλλωνι τῶι Πτωΐωι καθάπερ καὶ τὸ | κοινὸν Βοιωτῶν καὶ ἡ πόλις τῶν Ἀκραιφιείων· ὅπως ἂν οὖν φαίνηται ἡ πόλις | τῶν Ὠρωπίων, καθάπερ αὐτεῖ προσήκει, εὐσεβῶς καὶ ἐνδόξως τὰ πρὸς | τοὺς θεοὺς συντελοῦσα καὶ εὐχαριστοῦσα τεῖ πόλει Ἀκραιφιείων· | δεδόχθαι τεῖ βουλεῖ καὶ τῶι δήμωι· τὸν ἄρχοντα καὶ τοὺς πολεμάρχους | τοὺς ἀεὶ γινομένους καὶ τὸγ γραμματέα πέμπειν βοῦν ἀπὸ τῆς πόλεως εἰς τὰ Πτώια καὶ αὐτοὺς συμπομπεύειν καὶ τἄλλα πάντα πράττειν καθά|περ καὶ ἐν ταῖς λοιπαῖς θυσίαις γέγραπται αἷς ἡ πόλις θύει ἐν τῶι κοινῶι | Βοιωτῶν. Ἀναγράψαι δὲ τοὺς πολεμάρχους τόδε τὸ ψήφισμα ἐν τῶι ἱερῶι τοῦ Ἀμφιαράου οὗ ἂν αὐτοῖς φαίνηται ἐγ καλλίστωι εἶναι· τὸ δὲ | ἄλωμα τὸ γενόμενον εἰς τὴν ἀναγραφὴν τοῦ ψηφίσματος δοῦναι | τὸν ταμίαν τὸν προάρχοντα τὴν δευτέραν τετράμηνον. —

700. Acraephiae (Béotie). **Fondation des Ptoïa.** (2e moitié du IIIe s. av. J.-C.)

Plaque de marbre bleu, brisée en haut et en bas. Trouvée au nord du temple d'Apollon Ptoïos. — Holleaux, *Bull. de Corr. Hell.*, XIV (1890), p. 19 s. — C.I.G.S., I, 4135-4137. — Cf. Holleaux, *Bull. de Corr. Hell.*, XVI (1892), p. 453 s. — Pomtow, *Jahrb. f. Philol.*, 1894, p. 666.

I. -----ς πορευομε[ν ------------ | ------]ας καὶ ὡς ἂν ἡ πανήγυ[ρις ---------- | ------] ἀκολούθοις καὶ ἃ ἂν ἔχωσι -------- | --- ἐὰν δέ τις [παρὰ] ταῦτα ἄγηι τινὰ ἢ ῥυ[σιάζηι, || ὑπ]όδικος ἔστω ἐν Ἀμφικτύοσιν. Εἶναι δὲ καὶ ἄσυ λον τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Πτωΐου τὸ ἐν Ἀκραιφίοις ὡς ἂν αἱ στῆλαι ὁρίζωσι καθάπερ τὸ ἐν Δελφοῖς· τὴν δὲ λοιπὴν χώ|ραν τὴν ἱερὰν τοῦ Ἀπόλλωνος τοῦ Πτωΐου μὴ ἀδικεῖν μηδένα· ἐὰν δέ τις ἀδικῆι ὑπόδικος ἔστω ἐν Ἀμφικτύοσιν. Τῆς δὲ ἐκεχειρίας καὶ τῆς ἀσφαλείας ἄρχειν τὴν πεντεκαιδεκά την τοῦ Ἱπποδρομίου μηνὸς κατὰ θεόν, ὡς Βοιωτοὶ ἄγουσιν, | ὡς δὲ [Δ]ελφοὶ Ἀπελλαίου. Κυρίους δ' εἶναι οἰκονομοῦντας | τὰ κατὰ τὸ ἱερὸν τόν τε προφήτην καὶ τὸν ἱερέα τοῦ Ἀπόλλω|νος τοῦ Πτωΐου καὶ τὴν πόλιν τῶν Ἀκραιφιέων καὶ τὸ κοινὸν || τῶν Βοιωτῶν καθὼς καὶ ἔνπροσθεν καὶ τὸν ἀγωνοθέτην τὸν εἰρημένον ἐπὶ τὸν ἀγῶνα τῶν Πτοΐων. Ἀναγράψαι δὲ τὸ ψή|φισμα ἐν στήλαις

Πτωϊοκλῆν Ποταμοδώρου καὶ ἀναθεῖναι | τὴμ μὲν ἐν Δελφοῖς ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος, τὴν δ' ἐν Ἀ|κραιφίοις ἐν τῶι ἱερῶι τοῦ Πτωΐου, τὴν δὲ ἐμ Πυλαίαι· ἀναθεῖ|ναι δὲ καὶ τῶν ἄλλων ἱερῶν ὅπου ἂν δοκῆι ἐν καλλίστωι εἶν|αι. Ἐὰν δέ τι γίνηται ἀδίκημα παρὰ τὸ δόγμα τῶν Ἀμφικτυ|όνων, ἀποτεισάτω ὁ ἀδικῶν δισχιλίους στατῆρας καὶ ὃ | ἂν καταβλάψηι, τὰ δὲ δικασθέντα χρήματα ἱερὰ ἔσ|τω τοῦ Ἀπόλλωνος τοῦ Πτωΐου. Ἀνενενκεῖν δὲ τὸ δόγμα τοὺς || ἱερομνήμονας ἐπὶ τὰς πόλεις καὶ τὰ ἔθνη τὰ ἴδια ὅπως εἰδῶ|σιν πάντες τὰ δεδογμένα τοῖς Ἀμφικτίοσιν. — |

II. Καλλικλίδας Λοκρὸς ἐσς Ὀπόεντος καταβὰς ἐν Τρεφώ|νιον ἀνάνγειλε Λεπαδείαν τοῖ Δὶ τοῖ Βασιλεῖ ἀνθέμεν | κὴ τοῖ Τρεφωνίοι, κὴ Ἀκρήφια τοῖ Ἀπόλλωνι τοῖ Πτωΐυ, κὴ μεὶ || ἀδικῖμεν μειδένα οὕτως. Οὕτως [δ]ὲ ἀγιρέμεν ἀμφοτέ|ρως τὰ ἱαρὰ χρείματα κυνῆ ἐφ' οὑγίη κατὰ πᾶσαν χώ|ραν, κὴ τὸν ἀγῶνα ἱαρὸν καταγγελλέμεν. Ὅστις δέ κα τῶ | Διὸς τῶ Βασιλεῖος ἐπιμελειθείει τῶ ναῶ, τὸν στέφανον | ὕσετη. — ||

III. ..... ένιος ἄρχοντος· πολεμαρχιόντων Νικαρίστω Δεξαρίω|[νος ....]ωνος, Ἀπολλοδώρω Θιογίτονος, γραμματίδοντος | [.......... Ὀλυμ]πίχω· Κάπιλλος Στράτωνος Ληρουμνεὺς ἀνέθεικε | [τῦ Ἀπόλλωνι τῦ Πτ]ωΐυ χαλκῶ δραχμὰς πετρακισχιλίας ἑπτακατίας | [.............. χαριστ]είριον, καθὼς ἐμέριξε ὁ κλαρονόμος κατ τὰν || [διαθείκαν ..... Διων]ουσίω. —

701. Orchomène (Béotie). **Décret relatif au temple de Zeus Meilichios.** (Fin du III^e s. av. J.-C.)

Trouvé dans les ruines d'une maison, à Orchomène, actuellement perdu. — C.I.G., 1568. — Lebas-Foucart, 615. — Larfeld, *Syll. Inscr. Boeot.*, 36. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 495 (cf. I, p. 394). — C.I.G.S., I, 3169. — Cf. Dittenberger, *Commentatio de inscriptione Orchomenia*, Halle, 1888, p. v s.

Δαμοτθίδαο ἄρχοντος· | ἱαρειάδδοντος | Ἀντιχαρίδαο Ἀ[θ]ανο|δώρω· |Ἁ π|όλις Διὶ Μειλι[χίυ]. || Ἀντιχαρίδας Ἀθανοδώρω ἔλ[ε]|ξε· Δεδόχθη τῦ δάμυ· ὅπω[ς] ἔχω[ν]|θι τῶν πολιτάων τὺ θύ[ο]ν[τ]ες ἐ[ν | τ]ῦ Μειλιχίυ ο[ὕ]δατι χρειεῖσθη π[ο]|τίμυ, κατασκευάττη κ[ράναν] || ἐν τῦ ἱαρῦ εἰ παρ τὸ [ἱ]αρ[όν, εἶ κα] | δοκῖ ἐ[ν] καλλίστο[ι εἶμεν.

La copie de Clarke, qui a servi à tous les éditeurs, porte : ligne 4, ΔΡΙΟΛΙΣ; ΜΕΙΛΙΑ; ligne 6, à la fin, ΕΧΩΡ; ligne 7, ΤΥΟΥΘΝΙΕΣ; ligne 8, ΟΧΛΑΤΙ; ligne 9, à la fin, ΚΕ; ligne 10, à la fin, ΤΟΛΛΡ; ligne 11, ΔΟ ΚΙΕΙ.

702. Delphes. **Loi des Amphictions.** (380 av. J.-C.)

Plaque de marbre transportée jadis d'Athènes à Égine, actuellement au musée du Louvre (*Cat. somm. des marbres ant.*, 133). — C.I.G., 1688. — Ahrens, *De Graecae linguae dialectis*, II, p. 484 s. — Frœhner, *Inscr. gr. du Louvre*, 32. — C.I A., II, 545. — Cauer, 204. — Cf. Foucart, *Mém. sur les ruines et l'hist. de Delphes*, 1865, p. 166 s. — Bürgel, *Die pylæisch-delphische Amphiktyonie*, 1877, pp. 142 et 176 s. — M. M. Laurent a bien voulu collationner notre copie sur le marbre et nous avons revu le texte sur un estampage dû à l'obligeance de M. É. Michon.

|Π]υθέο(υ) ἄρχοντος· ἐπὶ τῆς Ἱπποθ[ω]ντίδος τρίτης [πρυτανευούσης --------------------

Ὅ]ρκο[ι]. — | Δικα[ξέω τ]ὰς δίκας ὥς κα δικαιοτάτα[ι] γνώμαι τὰ μὲγ γεγραμμ[ένα ----------, περὶ ὧν δὲ μὴ γέ]|γρα[πται, κ]ατὰ γνώμαν τὰν αὐτο(ῦ) καὶ [ἕτ]ερα ἀ[νὰ] τὰν δ[ίκ]αν οὐ [----------------- οὐδέ]|ποκα· [κα]ὶ τὰ καταδικασθέντα ἐκπραξέω ἐν δ[ύ]νασιν [κα]ὶ τασα--------------------- | τοιε.οντ. οὐδὲ τῶν χρημάτων τῶν Ἀμφικτιονικῶν ὑπο[βαλέομαι οὐδέν ----------------- αὐτῶι] | ἐμί[ν γ]α οὐδ' ἄλλωι δωσ[ῶ] τῶγ κοινῶν χρημάτων -------ετ-------------- [ὀμνύω κατ] | τô Ἀπόλλωνος τοῦ Πυθίου καὶ τὰς Λατôς καὶ τᾶς Ἀρτάμι[τος, καὶ εὐορκέοντι μέμ μοι περὶ ταῦτα γίνοιτο πάντα τὰ κα]|λὰ καὶ τἀγαθά, αἰ δ' ἐφιορκέ[οιμι], τὰ κακὰ ἀντὶ τῶν ἀγαθῶν [------ ὀμνύω ---------- τῶν γ]|εγραμμένων μὴ ἀπογραψέν, ἀλλ' ὧν κατὰ τὰ τοὶ ἱερομνάμονες κε[λευσόντι ---------------] | κα(τ) τὰ[ν] ἀξίαν μηδὲ δῶρα δεξεῖσθαι μηδέποκα, οὕτως ὑπισχόμ[ενος ὀμνύω κατ τοῦ Ἀπόλλωνος τοῦ Πυθίου καὶ τᾶς Λα]|τôς καὶ τᾶς Ἀρτάμιτος, καὶ εὐορκέοντι μέμ μ[ο]ι πολλὰ καὶ ἀγαθὰ [γίνοιτο, αἰ δ' ἐφιορκέοιμι, τὰ κακὰ ἀντὶ τῶν ἀγαθῶν. Τὸς δὲ] | ἱερομνάμονας ὁρκιξέω καὶ τὸς κάρυκας τὸν αὐτὸν ὅρκον, ------------

---------- | τὸμ φόρον καὶ τὰ ἱερήϊα ἀθρόα συναγόντων, τὸς ὄνος τὸν δοκιμ[--------------- ἐπὶ τὰν ἑκ]|ατόμβαν ὅ[ρ]κον ὀμόσας εἶπερ τοὶ ἱερομνάμονες, δοκιμαζέτω: Π[έροδος τᾶς ἱαρᾶς γᾶς· αἴ τίς κα τὰν γᾶν ἐπιερ]|γάζ[η]ται, ἃν Ἀμφικτίονες ἱάρωσαν, ἐπεί κ[α] ἁ πέροδος γίνηται, ἀποτ[ινέτω ---------------] | στατῆρας Αἰγιναίος κατ τ[ὸ] πέλεθρον ἕ[κασ]τον· τοὶ δὲ ἱερομνάμο[νες περιιόντων τὰν ----- γᾶν -------] | καὶ π[ρασ]σόντων τὸν ἐπιεργαζόμενον· αἰ δὲ μὴ περιιεῖεν ἢ μὴ πρ[άσσοιεν, ἀποτινόντων πελέθρου ἑκάστου, οὗ μὴ περιήιεσαν] | μηδὲ [ἔπ]ρασσ[ο]ν, τριάκοντα στατῆρας· αἰ δέ κα μὴ ἀποτίνηι ὁ

Voir la revision qu'a donnée P. . ourquet Ridm. fin. du sanct. pyth. –

p. 158 n. 3

= Ss. 145 ki.

[ἱερομνάμων ὁ ὀφείλων, ἁ πόλις ἐξ ἆς κ' εἶ ὁ ἱερομνάμων], || εἰλέσ[θω] τοῦ ἱαροῦ, καὶ στρατευόντων ἐπ' αὐτὸς Ἀμφικτύονες, [κατ τά κα τοὶ ἱερομνάμονες ------ ἐπαγγέλ]|λωντ[ι. Ἐπὶ] τᾶς ἱερᾶς γᾶς κόπρον μὴ ἄγεν μηδεμίαν· οἰκήσιος ε------------------| ενειδια . ἐπὶ θαλάσσαι, τὰς δὲ παστάδας κοινὰς εἶμεν πάντεσσι [------------------ μι]|σθὸμ μηδένα φέρεν μηδενὶ μηδ' ἐνοικεῖν τὸν αὐτὸν πλέον τριάκ[οντα ἁμερᾶν ----------------] | ἐνοικε̃[ν] μηδεμίαν, μηδὲ μύλαν ἐνεῖμεν μηδὲ ὅλμον. Αἰ δέ τις τ[---------------- τοὶ ἱ]||αρομνά[μ]ονες ζαμιόντων, ὅτινί κα δικαίωι σφ[ι]ν δοκῆι εἶμεν ἐπι[ζαμίωι, τὸ δ' ἥμισυ τοῦ ἐπιζαμίου ἔστω τῶν] | κα[τ]αγ[γελ]λόντων πο[τ] τὸς ἱαρομνάμονας:

Λῶτις· ἁ λῶτις τᾶς ἀμφ[ικτιονικᾶς ----------- στατῆρες] | Αἰγιναῖ[ο]ι· τὸ δ' ἀμπέχονον πεντήκοντα καὶ ἑκατὸν στατῆρ[ες Αἰγιναῖοι· ------------ πορπαμά]|των ἑκατὸν στατῆρες Αἰγιναῖοι· τᾶς στεφάνας ἑκατὸν στατ[ῆρες Αἰγιναῖοι ----------------] | δέκα στατῆρες Αἰγιναῖοι· τᾶς ἀσπίδος διακάτιοι στατῆρες Αἰγι[ναῖοι ---------------- στα]||τῆρες Αἰγιναῖοι· λόφου πεντεκαίδεκα στατῆρες Αἰγιναῖοι· δόρατ[ος ---------------- στατῆρε]|ς Αἰγιναῖοι· καὶ τὰ πορ[π]άματα καὶ ἁ στεφάνα χρύσεα ἐόντων π[άντα -----------------] | ἐνέστω· [τ]οῦ βοὸς τιμὰ τοῦ ἥρωος ἑκατὸν στατῆρες Αἰγιναῖοι· τᾶς [----------- στατῆρας Αἰγιναίος] | ὀφειλέτω· χρηστήριον αἴ τίς κα μὴ παρέχηι, ἑκατὸν στατῆρας ὀφε[ιλέτω ----------------]|ς ἔφοδον θύεν ἐν Ἀνεμαίαις τρικτεύαν κηΰαν τῶι (Ἀπόλλωνι), τρικτεύαν κηΰ[αν --------------]||ιος τὸν ναὸν τοῦ Ἀπόλλωνος τô Πυθίο καὶ τὰν αὐλὰν καὶ τὸν τᾶς Ἀ[ρτάμιτος ναὸν ------- καὶ τὸν] | δρόμον καὶ τὰν κράναν τὰν ἐμ πεδίωι τοὶ ἱαρομνάμονες τοὶ Ἀμφι[κτιόνων --------- κατὰ Πυθιάδα ἑκά]|σταν ἐφακείσθων πρὸ Πυθίων, ὅτινός κα δέωνται· αἴ κα μὴ τοὶ ἱαρομ[νάμονες -------------] | ἐν τᾶι <ται> Πυθιάδι τᾶι (ἱ)αρᾶι ἐπικοσμήσωντι, ὅτινός κα δέωνται, ἀπο[τεισάτω ὁ ἱαρομνάμων ὁ μὴ ἐπικοσμήσας---], στατῆρας Αἰγιναίος· αἴ κα μὴ ἀποτίνηι τοῖς ἱερομναμόνεσσι το[ῖς Ἀμφικτιόνων ὁ ἱερομνάμων ὁ ὀφείλων, εἰλέσθω τοῦ ἱ]||αροῦ ἁ πόλις, ἐξ ἆς κ' εἶ ὁ ἱαρομνάμων, ἔντε κα ἀποτείσῃ :

Ὁδῶν τα[-------------- καὶ τ]|ὰς γεφύρας ἐφακε̃σθαι Ἀμφικτίονας κατ τὰν αὐτô ἕκαστον κ-------------------- | μὴ σίνηται· καὶ τοῦ δρόμου τοὺς ἱαρομνάμονας τοὺς Ἀμφικτι[όνων ἐπιμελεῖσθαι ------------- δ]|έηται, καὶ ζαμι-

ούντων τοὶ ἱαρομνάμονες· κἠπὶ τοῖς ποταμοῖς [------------ ---- Ἱερομηνί]|α Πυθιάς· ἐνιαυτία ἁ ἱερομηνία ἁ Πυθιὰς ἴσα πάντεσσι ἐκ τᾶς ι -------------------- || Πύθια δ' ἀ[γ]όντων τοῦ Βουκατίου μηνὸς τοῦ ἐν Δελφοῖς, τὸς δὲ π[---------- -------- Δ]|ελφοὶ τοῦ Βυσίου μηνός· αἰ δέ κα μὴ πέ[μ]πωντι, ἀποτεισάντω[ν ------- στατῆρας Αἰγιναίος ------] | πὸτ τὸν θεὸν κατ τὰ πάτρια διδόντων τοῖς Δελφοῖς· αἰ δέ κα [μὴ διδῶντι ---------------- ἢ] | ...ωνται τὰν ἐκεχηρίαν, εἰλέσθων τοῦ ἱαροῦ π[------------------------------ | .... τὰν ἐ]κεχηρίαν ἱερομ----ρο-------------------

Le marbre porte, ligne 9, ΟΡΚΕΜΙΟΙ; ligne 19, ΡΑΣΣΩΝ; ligne 26, ΚΑΞΑΓ...ΛΟΝΤΩΝΠΟΙΤΟΣ; ligne 31, ΠΟΡΝΑΜΑΤΑ; ligne 34, à la fin, ΚΗΥΜ; ligne 45, ΑΕΟΝΤΩΝ. Ligne 11, ΔΕΞΕΙΣΘΑΙ est bien sur le marbre.

703. Phocide. **Règlement religieux d'un temple des Dioscures.** (v^e s. av. J.-C.)

Pierre mal dégrossie provenant de Sfaka (Phocide), actuellement au musée de Drakhmani. — Foucart, *Bull. de Corr. Hell.*, VIII (1884), p. 217 (trad.). — Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 1531. — Roberts, 229*bis*. — C.I.G.S., III, 129. — Cf. Paris, *Élatée*, 1891, p. 34. — Rœhl, *Imagines*, 2^e éd., p. 21.

Ἐν τôι Ϝα|νακείοι | θύοντα | σκανêν, || γυναῖκα | μὲ παρίμε[ν].

704. Tomi. **Règlement religieux.** (ii^e s. av. J.-C.)

Plaque de marbre brisée en haut et à gauche. Actuellement dans une collection particulière à Bucarest. — Tocilescu et Gomperz, *Arch.-Epigr. Mitth. aus Œ.-U.*, VI (1883), p. 8 s. — Cf. Herbrecht, *De sacerdotii apud Graecos emptione*, 1885, p. 45. — Lehmann, *Quest. sacerdot.*, 1888, p. 17. — Nous avons supprimé les débris d'une première colonne.

----η ὁ πριάμενος τὴν ἱερω|[σύνην τῶ]ν μυστῶν θεῶν τῶν ἐν | [Σαμοθρά]κῃ ἱερήσεται διὰ βίο[υ, καὶ | Ἀπατου]ρεῶνος ἑβδόμῃ παρ[έξει || τὰ ξύλ|α σχίξας καὶ ἐγχέει [τὸ πο τὸν τοῖ]ς μύσταις καὶ πομπε[υθήσε|ται πα]ρ' αὐτοῦ· στεφανωθήσεται δὲ | [παρὰ] τῶν μυστῶν φιλοτιμίας ἕνε [κε]ν τῆς εἰς ἑαυτούς, ἐν ᾗ ἱερᾶται ἡμέ||ρᾳ· συνθύσει δὲ καὶ τοὺς λιβάνους ἐμ | πάσαις ταῖς συνόδοις μετὰ τοῦ προ|υπάρχοντος ἱερέω(ς) τῶν μυστῶν καὶ | οἷς ἐπιβάλλει ἐκ τοῦ νόμου· ὑπάρχειν | δὲ αὐτῷ τὸν στέφανον εἰς τὸ κατ[άλοιπ]||ον. Ἐπρίατο τὴν ἱερωσύνην Τίμ[αιος] | Στράτωνος χρυσῶν ἑπτά, χαλ[κῶν] | ἑξήκοντα, οὓς ἔδωκε παραχρ[ῆμα. —

705. Olbia. **Règlement religieux.** (IIe s. av. J.-C.)

Plaque de marbre blanc intacte, trouvée dans les ruines d'Olbia, actuellement au musée de Moscou. — Struve, *Rhein. Mus.*, XXIV (1869), p. 559 s. — Müllenhoff, *Hermes*, III (1869), p. 442. — Latyschev, *Inscr. ant. orae septent. Ponti Euxini*, I. 46. — Cf. Dittenberger, *Sylloge*, p. 364. — Swoboda, *Wiener Studien*, X (1888), p. 298 s. — Dittenberger, *Hermes*, XXVI (1891), p. 475.

ʽΕπταδεύσαντες | ἐπεμελήθησαν τοῦ | θησαυροῦ· — | ʽΗρόδοτος Παντακλέους, || ʼΕπιχάρης Διονυσοφάνους, | Ποσειδώνιος Εὐκράτους, | ʼΑδείμαντος ʼΑπα[τ]ουρίου, | ʼΙστικ[ῶ]ν Μητροδώρου, | Λεοντομ[έ]νης ʽΗροσῶντος, || ʽΗρακλείδης Εὐβίου. — |

Τοὺς θύοντας ἀπάρχεσθαι | [ε]ἰς τὸν θησαυρόν· — | βοὸς μὲν χιλίους διακοσίους, | ἱερείου δὲ καὶ αἰγὸς τριακοσίους, || [τ]έ[ρφ]ους δὲ ἑξήκοντα. —

Ligne 15, au début, on lit sur le marbre ΓΕΙ.ΟΥΣ.

706. Thasos. **Règlement religieux.** (Ve s. av. J.-C).

Gravé sur un bas-relief provenant de Thasos, actuellement au musée du Louvre (*Cat. somm. des marbres ant.*, 696). — Miller, *Rev. Arch.*, 1865, II, p. 439 s. et 1866, I, p. 419 s. — Michaelis, *Arch. Zeitung*, 1867, p. 1 s. – Rœhl, I.G.A., 379 (*Imag.*, 2e éd., p. 62, n° 2). — Cauer, 525. — Bechtel, *Inschr. d. Ion. Dial.*, 68. — Roberts, 22. — Hoffmann, *Griech. Dial.*, III, p. 35 (n° 69). — Cf. Fick, *Gœtt. Gel. Anz.*, 1883, p. 126.

A. Νύμφῃσιν κἀπόλλωνι Νυμφηγέτῃ θῆλυ καὶ ἄρσ|εν, ἂμ βόλῃ προσέρδεν. Οἶν οὐ θέμις οὐδὲ χοῖρον. |
Οὐ παιωνίζεται.

B. Χάρισιν αἶγα οὐ θέμις οὐδὲ χοῖρον.

707. Chios. **Décret relatif au culte.** (IVe s. av. J.-C.)

Trouvé au lieu dit Ναός, au nord de Cardamyla (Chios). Στοιχηδόν. — C.I.G., 2214c (II, p. 1030 : quelques mots). — Reinach, *Chroniques d'Orient*, I, p. 639. — Haussoullier, *Rev. des Ét. gr.*, III (1890), p. 211. — Hoffmann, *Griech. Dial.*, III, p. 42 (n° 81).

ʼΕπὶ Τ[έλλ[ι]ος πρ[υτάν]|εος· βολῆς γνωμ[ή. ʼΕν τ]|οῖς ἄλσεσιν μ[ὴ ποιμ]|αίνεν μηδὲ κοπρ[εόε]|ν. ʼΗν δὲ ποιμαίνῃ [ἢ ὑ]|φορβῇ ἢ βοκολῇ [ὁ ἰ]|δὼν κατειπάτω πρ[ὸς] | τὸς βασιλέας ἀγ[νῶς] | πρὸς τô θεô· τῶι δὲ [πο]||ιμαίνοντι ἢ ὑφορβέ|οντι ἢ βοκολέοντι ἡ|μίεκτον ἴθυνα ἔστω | κατὰ κτῆνος ἕκαστο|ν. ʼΗν δὲ κοπρεόων ἁλ[ί]|σκηται πέντε στατῆ|ρας ὀφειλέτω ἁγνῶς | πρὸς τô θεô· ἢν δὲ ὁ ἰδ|ὼν μὴ κατείπει πέντ|ε στατῆρας ὀφειλ[έτ]||ω [ἱ]ερὸς τῶι θεῶι . . .|.λωρανα ἐν τοῖς . . .|.σ. .ικευα ἐκ τοῦ ἱε|[ρô] μ[ὴ ʼχφ]έρεν τὰ ἱερά· | [ἢν δʼ] ἐ[χ]φέρῃ[ι] αρεστα||. . . . . .ν. .ωνδε.

708. Chios. **Règlement de sacrifice.** (Fin du iv[e] s. av. J.-C.)

Plaque de marbre encastrée au-dessus d'une porte à Pyrgi (Chios). — Studniczka, *Athen. Mitth.*, XIII (1888), p. 166.

Τῶι ἱερεῖ τοῦ Ἡρακλέος | δίδοσθαι ὅταν τὸ γένος | θύῃ γλώσσας καὶ σπλάγ|χνα τὰ εἰς χεῖρας καὶ μερίδ||[α] δίκρεων καὶ τὰ δέρματ[α· | ἐ]ὰν δὲ ἰδιώτης θύῃ δίδο[σθ]|αι τῶι ἱερεῖ γλώσσας καὶ [σπ|λ]άγχνα τὰ εἰς χεῖρας κα[ὶ μ]|ερίδα δίκρεων, ἐπαγγειλ[άτω] || δὲ ὁ θύων τῶι ἱερεῖ, ἐὰν δ[ὲ ὁ] | ἱερεὸς μὴ παρῆι προιερη[τευ]|έτω τις ὧν αἱ λόγχαι εἰσ[ίν, τὰ] | δὲ γιν[ό]μενα ἀποδιδόν[αι τὸ]|ν θύοντα τῶι ἱερεῖ· γίνεσ[θαι] || δὲ καὶ τοῖς ἄλλοις ἱερε[ῦσι ὅ]|σοι ἱερητείας ἐώνη[νται πάντ]|α ταὐτά.

709. Lesbos. **Règlement de sacrifice.** (iii[e] s. av. J.-C.)

Marbre actuellement placé dans l'école de Mytilène. — Conze, *Reise auf Lesbos*, pl. IV, 3. — Cauer, 435. — Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 293. — Hoffmann, *Griech. Dial.*, II, p. 68. — Cf. Wilamowitz, *Zeit. f. Gymn.-Wesen*, 1877, p. 647.

Θεός. Τύχα ἀγαθ[ά]. | Ὄ κε θέλῃ θύην ἐπὶ τῷ βωμ[ῷ] | τᾶς Ἀφροδίτας τᾶς Πεί|θως καὶ τῶ Ἑρμᾶ, θυέτω || ἰρήιον ὄττι κε θέλῃ καὶ | ἔρσεν καὶ θῆλυ π[λὰν] ὐ[ὸς] | καὶ ὄρνιθα [ὄ]ττι[νά κε θέλῃ.

710. Samos. **Loi relative à la célébration d'une fête.** (Fin du iv[e] s. av. J.-C.)

Marbre blanchâtre, brisé à gauche et en bas. Trouvé à Samos. — Clerc, *Bull. de Corr. Hell.*, VII (1883), p. 517 s. — Kœhler, *Athen. Mitth.*, X (1885), p. 32 s.

Τάδε ε]ἰσήνεγκαν οἱ αἱρεθέν[τες νομο]γράφοι περὶ τῆς ἐν Ἑλικωνίωι | [θυσία]ς· Τοὺς ἀποδεικνυμένους ὑπὸ τῶν χιλιαστήρων ἐπιμηνίους τῆς | [πανηγυριακ]ῆς συνόδου τῆς ἐν Ἑλικωνίωι γινομένης ἐπιμηνιεύειν ἐὰν [ἐνδημῶσιν, ἐ]ὰν δὲ ἀποδημῶσιν, οὓς ἂν καταλίπωσιν αὐτῶν κυρίους κατὰ || [ταὐτά. Ἐὰν δὲ] αὐτεπάγγελτοί τινες πείσωσι τοὺς αὐτῶν χιλιαστῆρας, | [- - - - αὐτὸ]ν τοῖς αὐτοῦ χιλιαστῆρσι. Ἂν δὲ αἱρεθείς τις ἢ αὐτὸς | [πείσας μὴ ἐπιμηνιε]ύσηι, εἰσπραχθήτω δραχμὰς διακοσίας ὑπὸ τῶν ν[ο|μογράφων τῶν αἱρεθέντω]ν καὶ τ[ῶν ἐπι]μηνίων τῶν συναποδεικ[νυμένων. —

711. Amorgos. Décret religieux (III^e s. av. J.-C.)

Plaque de marbre brisée en deux morceaux, incomplète en bas. Trouvée à Amorgos. — Ross, *Inscr. Gr. Ined.*, 136 (la partie gauche seulement). — Weil, *Athen. Mitth.*, I (1876), p. 342. – Dittenberger, 358. — Nous avons supprimé les débris très mutilés qui précèdent et qui suivent notre texte.

Θεοί. | Ἔδοξεν τῆι βο[υλ]ῆι καὶ τῶι δήμωι· Ἅγ[νων] | εἶπε· Μελίτων ἐπ[εστ]άτει· Μὴ ἐξεῖναι κα[τάρ||χεσθαι εἰς τὸ Ἡραῖ[ον] ξένωι μηδενί, ἐπιμελ[εῖ σ]θαι δὲ τὸν νεωκό[ρο]ν καὶ ἐξείργειν· ἐὰν δὲ | μὴ ἐξείργηι, ἀποτ[ίνει]ν αὐτὸν τῆς ἡμέρας | ἑκάστης δέκα δρα[χμ]ὰς ἱερὰς τῆι Ἥραι. Ἀνα|γράψαι δὲ τόδε τὸ [ψή]φισμα πρὸ τῶν θυ[ρ|ῶ]ν, ἐπιμεληθῆ[ναι] δὲ τοὺς νεωποιάς.

712. Amorgos. Décret des prêtres d'Athéna Itonia. (Fin du III^e s. av. J.-C.)

Stèle de marbre provenant de Minoa (Amorgos), actuellement au musée de Syra. — Delamarre, *Revue Archéol.*, 1896, II, p. 73 s.

Θεοί. | Ἀγαθῆι τύχηι. Ἐπὶ δημιοργοῦ Παγκρίτου, | μηνὸς Κρονίωνος. Ἔδοξεν τοῖς ἱερουργοῖς | τῆς Ἀθηνᾶς τῆς Ἰτωνίας· Ἐπειδὴ Ἐπινομίδης || Θεογένου ἄρξας τὴν ἀρχὴν τὴν εἰς Ἰτώνια, | τῆς τε θυσίας καὶ τῆς πομπῆς ὅπως γένητα[ι] | τῆι θεῶι ὡς καλλίστη, πᾶσαν σπουδὴν ἐποή|σατο καὶ τῶμ πορευομένων εἰς τὴν ἑορτὴν | καλῶς καὶ φιλοτίμως ἐπεμελήθη, τοὺς μὲν || τόκους τοὺς γινομένους αὐτῶι ἀπὸ τοῦ ὑπάρ|χοντος πελάνου τῆι θεῶι ἀφ᾽ ὧμ πρότερον ἡ θυ|σία συνετελεῖτο ἐπιδοὺς τῶι κοινῶι τῶ(ν) ἱερουρ|γῶν εἰς κατασκευὴν τοῦ τεμένους, τὸ δὲ ἀνά|λωμα τὸ γενόμενον εἰς τὴμ βοῦν τὴν θυθεῖσα[ν] || καὶ τὴν ἄλλην δαπάνην ἅπασαν ἀναλώσ[ας] | ἐκ τῶν ἰδίων, καὶ τοὺς πορευομένους εἰς τὴν ἑορτ[ὴν] | ὄντας οὐκ ἐλάσσους πεντακοσίων πεντήκοντ[α] | ἀφῆκεν ἀσυμβόλους προκηρύξας ἐν τῆι ἀγορᾶι | ὡς ὁ νόμος προστάσσει καλῶς καὶ δικαίως γενο||μένου τοῦ ἀναλώματος οὐκ ἐλάσσονος δραχμῶν | χιλίων κρίνων τοῦτο μέγιστον καὶ κάλλιστον | εἶναι διαφυλάσσειν τήν τε πρὸς τὸν δῆμον εὔνο[ι]|αν καὶ τὴμ πρὸς τοὺς θεοὺς εὐσέβειαν· ὑπὲρ οὖν | τούτων, δεδόχθαι τοῖς ἱερουργοῖς τῆς θεοῦ· ἐπαινέσαι Ἐπινομίδην Θεογένου ἀρετῆς ἕνεκα καὶ | φιλοτιμίας ἧς ἔχων διατελεῖ περὶ τὸ κοινὸν τῶν | [ἱερ]ουργῶν καὶ στεφανῶσαι αὐτὸν θαλλοῦ στεφάν[ωι | κα]τὰ τὸν νόμον καὶ ἀνακηρύξαι τὸν στέφανον | [............ τ]οὺς πρυτάνεις ἐν τῆι ἑορτῆι καὶ || -------------τα καὶ τοὺς π.|[------------ ἕκ]αστον ἐνιαυ|[τὸν ...

713. Amorgos. **Règlement religieux des Samiens de Minoa.** (Ier s. av. J.-C.)

Marbre brisé en haut et en bas. Trouvé à Minoa, actuellement au musée de Syra. — Delamarre, *Revue Archéol.*, 1896, II, p. 77 s.

---- | οἱ] ἐπιμ[ήνιοι ---------------| -]ωσαν ει----------------|-αν ἐν τῶι ἱερῶ[ι --------------|-εναι τὸν λόγον [------------ καὶ πα]||ραχρῆμα ἐγδανεισ[-------- παρατιθέτω]|σαν δὲ καὶ [ἐπ]ὶ τὴν τρά[πεζαν τῆι θεῶι ------] | γλῶσσαν καὶ σαρκὰς τρε[ῖ]ς ---------- | ὁμοίως δὲ καὶ τῶν ἄλλων [---- παρατιθεμένων] | τῆι θεῶι ἐπὶ τὴν τράπεζαν ἔστ[ω ------- μέ]||ρος τῆς ἱερείας, τὰ δὲ λοιπὰ τῶν ἐπα------ | ἐπὰν δὲ τελετὴν ποιῇ ἡ ἱέρεια ὁ πέλαν[ος --- δι]|δόμενος ὑπὸ τῶν τεθυμένων ἱε[ρὸ|ς ἔστω, [διδόσθω δὲ πέ]|λανος ἑκάστου δραχμὴ καὶ ἐγδανεισθήτω π[αραχρῆ]|μα· — τὸν δὲ τόκον λογευέτωσαν καὶ τοῦτον ο[ἱ ἐπιμή]||νιοι καὶ καθιστ<ι>άτωσαν, τὰ δὲ ἄλλα ἔστω τῆς ἱε[ρείας] | κατὰ τὰ ἔθιμα, ἡ δὲ αἱρουμέν[η] ἱέρεια παρεχέ[τω αὐ]|τὴ τὰ τέλεστρα ἰδίαι καὶ ἱεραζέτω ἔτη δέκα ἂν βο[ύλη]|ται· οἱ δὲ πρυτάνεις τῆι δεύτερον ἡμέραι μετὰ [τὰς] | σπονδὰς ποιείτωσαν διαχειροτονίαν τοῖς πα[ροῦ]|σιν ὅτῳ δοκεῖ καλῶς καὶ φιλοτίμως τοὺς ἐπιμηνίο[υς] | ἐπιμεμελῆσθαι τῆς τε θυσίας καὶ τῶν παρόντων [καὶ] | ὅτῳ μή|, καὶ ἐὰν νικᾶν δοκῇ στεφανωσάτωσαν αὐτοὺς | θαλλ[οῦ] στεφάνωι καὶ ἀναγγειλάτω ὁ κῆρυξ ὅτι ὁ δῆμος | στεφανοῖ αὐτοὺς ἀρετῆς ἕνεκα καὶ φιλοτιμίας τῆς || εἰς ἑαυτόν. — Ἐπιμεληθήτωσαν δὲ οἱ ἐπιμήνιοι τῆι | πρώτηι ἡμέραι με[τ]ὰ τὰς σπονδὰς ὅπως σιωπὴν κα|τακηρύξας ὁ κῆρυξ ἀναγγείλῃ ὅτι στεφανοῖ ὁ δῆ|μος ὁ Σαμ[ίω]ν ὁ κατοικῶν ἐν Μινώιαι Ἡγησαρέτη(ν) Αἰνη|σικράτου, γυναῖκα δὲ Ἑρμοκράτου τοῦ Παγκρίτου εὐ||σεβείας ἕνεκεν τῆς πρὸς τοὺς θεοὺς καὶ ἀρετῆς ἕνε|κεν καὶ εὐνοίας τῆς εἰς ἑαυτόν, ἀναγγελλέτωσαν | δὲ [κ]αὶ οἱ ἀγωνοθέται τοῖς Ἑκατομβ(αί)οις ἐν τῶι θεάτρωι | [κ]αθ᾽ ἕκαστον ἐνιαυτὸν τὸν στέφανον τοῦτον· ἐὰν | δέ τις τ[ῶ]ν ὀφειλόντων τὸ ἀργύριον τῆι θεῶι βούλη|ται ἀποδοῦναι τὸ ἀρ[χ]αῖον καταβαλλέτω τοῦ μη|νὸς τοῦ Κρονίωνος, ἐν κυρίαι ἐκκλησίαι, τὸ μὲν ἀρ|χαῖον τοῖς ἐξετασταῖς, τὸν δὲ τόκον τοῦ μηνὸς | τοῦ Πανήμου τοῖς ἐπιμηνίοις· οἱ δὲ ἐξετασταὶ | λαβόντες παραχρῆμα ἐγδανει[σ]άτωσαν καὶ ἀνα|γραψάντων εἰς τὴν φλιὰν τὸ ὄνομα τοῦ δανεισαμέ|νου πατρόθεν, καὶ τὸ ἐνέχυρον ὃ ἂν ὑποθῇ καὶ ἐὰν ἐγ|γυητὴν καταστήσῃ· τὸ δὲ τοῦ ἀποδόντος τὸ ἀργύ|<γυ>ριον ὄνομα καὶ τοῦ ἐγγυητοῦ καὶ τὸ ἐνέχυρον τ[ὸ] | ὑποτεθὲν ἐκκολαψάντων ἐκ

Sur la διαχειροτονία, cf ad n° 383 fin.

τῆς φλιᾶς· προσ[λο]γευέτωσαν δὲ οἱ ἐπιμήνιοι καὶ ἐάν τις γένηται[ι] | μεὶς ἐμβόλιμος τὸ δωδεκατημόριον, καὶ κατισ[τ]|άτωσαν.— Ὑπαρχέτω δὲ τῆι θεῶι τὰ χρήματα | ἐπὶ τοῖς κτήμασιν ἑκάστων τῶν δεδανεισμέ|νων, καὶ ἡ κομιδὴ ἔστω πρώτη τῆι θεῶι καὶ τῶν τό||κων καὶ τῶν ἀρχαίων, καὶ πρακτοὶ ἔστωσαν ἀεὶ οἱ ἔ|χοντες καὶ νεμόμενοι τὰ ἐνέχυρα τὰ ὑποκείμενα | τῆι θεῶι καὶ ἀναγεγραμμένα ἐν τῆι φλιᾶι· ὁ δὲ δῆμος αἱρείσθω ἀεὶ ἐν ταῖς ἀρχαιρεσίαις ἐπι μηνίους εἰς μητρῶια ἄνδρας δύο τῶν πολιτῶν | τίμημα ἔχοντας μὴ ἔλασσον δραχμῶν διακοσί|ων· οἱ δὲ ὀφείλοντες τὰ χρήματα τῆι θεῶι κατα|βαλλέτωσαν τοὺς τόκους τοὺς γινομένους τοῖς | ἐπιμηνίοις καθ' ἕκαστον ἐνιαυτὸν ἐν τῶι μηνὶ τῶι | Πανήμωι καὶ ἀποσφράγισμα ποιείτωσαν τῆς [ἀποδό]||σεως ἐπὶ τοὺς ἐξεταστάς· ἐὰν δέ τις τῶν [ὀφει|λόντων] μὴ ἀπόδῳ τοὺς τ[όκους -----

714. Myconos. **Décret religieux.** (Ier s. av. J.-C.)

Plaque de marbre blanc, trouvée à Myconos, actuellement au musée d'Athènes. — Lebas-Foucart, 2058. — Koumanoudis, Ἀθήναιον, II (1873), p. 237. — Dittenberger, 373. — Latyschev, *Bull. de Corr. Hell.*, XII (1888), p. 459 s. — De Prott, *Leges Graecorum Sacrae*, 4 (cf. p. 46). — Cf. Haussoullier, *Rev. des Ét. gr.*, II (1889), p. 195. — Stengel, *Jahrb. f. Philol.*, 1891, p. 450. — Le même, *Hermes*, XXVII (1892), p. 164 s. — Svoronos, *Bull. de Corr. Hell.*, XVII (1893), p. 493 s. — Wilhelm, *Arch.-Ep. Mitth. aus Œ.-U.*, XVII (1894), p. 41. — Nous avons supprimé les débris très mutilés des dernières lignes,

Θεοί. Τύχηι ἀγαθῆι. | Ἐπ' ἀρχόντων Κρατίνου, Πολυζήλου, Φιλόφρονος, ὅτε συνωικίσθησαν αἱ πόλεις, τάδε ἔδοξεν Μυκονίοις ἱερ[ὰ] | θύειν πρὸς τοῖς πρότερον καὶ ἐπηνορθώθη περὶ τῶν προτέ||ρων· Ποσιδεῶνος δυωδεκάτει Ποσειδῶνι Τεμενίτηι | κριὸς καλλιστεύων λευκὸς ἐνόρχης· ὁ κριὸς εἰς πόλιν οὐ|κ εἰσάγεται· νῶτογ καὶ πλάτη κόπτεται· ἡ πλάτη σπένδε|ται· τῶι ἱερεῖ γλῶσσα καὶ βραχίων. Τῆι αὐτῆι ἡμέραι Ποσει|δῶνι Φυκίωι ἀμνὸς λευκὸς ἐνόρχης· γυναικὶ οὐ θέμις. Καὶ | ἀπὸ τοῦ τέλους τῶν ἰχθύων βουλὴ πριαμένη ἱερεῖα εἴκο|σι δραχμῶν διδότω. Τῆι αὐτῆι ἡμέραι Δήμητρι Χλόηι ὕες | δύο καλλιστεύουσαι· (ἡ) ἑτέρη ἐγκύμ[ω]ν· νῶτογ κόπτετα[ι] | τῆς ἐγκύμονος. Τὰς ὗς βουλὴ κ[ρινέ]τω· μ[αγίρ]ωι ἄρχοντες | διδόντων ὀσφὺν καὶ κωλῆν τῆς ὑὸς τῆς ἑτέρης, ἀλφίτων | δύο χοίνικας, οἴνου τρεῖς κοτύλας. Ληναιῶνος δεκάτηι | ἐπὶ ὠιδῆι ὑπὲρ καρποῦ Δήμητρι ὗν ἐνκύμονα πρωτοτόκον, | Κόρηι κάπρον τέλεον, Διὶ Βουλεῖ χοῖρον. Ταῦτα διδόντων ἱε|ροποιοὶ ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου, καὶ ξύλα διδόντων καὶ ὀλάς. | Ἐπιμελέσθων δὲ τῶν ἱερῶν ὅπως καλὰ

ἧι ἄρχοντες καὶ ἱε||ρεῖς· ἐὰν δέ τι δέηι καλλιερεῖν, ἱεροποιοὶ διδόντων· εἰς δὲ | τὴν ἑορτὴν [πελ]αζέτω Μυκονιάδων ἡ βουλο[μ]έ[νη] καὶ τῶν οἰ|κουσῶν ἐμ Μυκόνωι ὅσαι ἐπὶ Δήμητρα τετέλενται. Ἑν|δεκάτηι ἐπὶ Τοταπλῆθος Σεμέληι ἐτήσιον· τοῦτο ἐνα|τεύεται. Δυωδεκάτει Διονύσωι Ληνεῖ ἐτήσιον. Ὑπ[ὲρ] | κα|ρ]πῶν Διὶ Χθονίωι, Γῆι Χθονίηι δερτὰ μέλανα ἐτήσι[α]· [ξ]ένωι οὐ θέμις· δαινύσθων αὐτοῦ. Βακχιῶνος δε[κά]||τηι ἐν Δειράδι Διονύσωι Βακχεῖ χίμαρος καλλιστεύω[ν]. | Τὴν τιμὴν ἱεροποιοὶ διδόντων καὶ συνεστιάσθων, δ[αι]|νύσθων δὲ αὐτοῦ. Ἑκατομβαιῶνος ἑβδόμηι ἱσταμέ νου Ἀπόλλωνι Ἑκατομβίωι ταῦρος καὶ δέκα ἄρνες· νῶτον | τοῦ ταύρου κόπτεται· τῶι ἱερεῖ τοῦ ταύρου δίδοται γλῶσ|σα καὶ βραχίων· τῶν ἀρ[ν]ῶν ὧν οἱ παῖδες θύουσιν, ἱερεῖ γλῶσ|σα καὶ τῶι παιδὶ γλῶσσα ἑκατέρωι· ὧν οἱ νυμφίοι θύ[ου]σιν — | τῶν ἀρ[ν]ῶν τῶι ἱερεῖ καὶ τῶι νυμφίωι γλῶσσα ἑκατέρωι. [Τῆι] || αὐτῆι ἡμέραι Ἀχελώιωι τέλειον καὶ δέκα [ἄρ]νες· τούτω|ν τρ[ί]α, τέλειον καὶ ἕτερα δύο, πρὸς τῶι β[ωμ]ῶι σ[φάττειν] τ[ὰ ἄ|λ]λα εἰς τὸν ποταμόν. Ὁ ἐργαζόμεν[ος τὸ χωρ|ίον τὸ ἐν σα.. | τοῦ Ἀχελώιου μίσθωμα ἀποδιδ[ό]τω [αὐτοῦ] Ἀχ[ελώι]ωι, νο | [καὶ] τοῦτο καταθυέσθω [ε]ἰς [τὸν θησαυρόν]. Πέμπτηι ἐπ[ὶ δέ||κα] Ἀρχηγέτηι ἐτήσιο[ν ----

Le marbre porte, ligne 25, ΚΑΜΠΩΝ; lignes 32 et 34, ΑΡΤΩΝ.

715. Théra. **Offrandes à la Mère des Dieux.** (IIe s. av. J.-C.)

Stèle de marbre blanc trouvée à Kontochori (Santorin). — Ross, *Archäol. Aufsätze*, II, p. 423. — C.I.G., 2465f (II, p. 1086). — Rangabé, *Ant. Hell.*, 893. — Dittenberger, 377.

Οὖροι: γᾶς | Θεῶν ματρί.

Θεὸς ἀγαθᾶι τ|ύχα ἀγαθοῦ δ||αίμονος. Θυσία | Ἀρχίνου· τῶι ἔτ|ει τῶι πρατίστ|ωι θύσοντι βοῦ|ν καὶ πυρῶν ἐγ || μεδίμνου καὶ | κριθᾶν ἐγ δύο μ|εδίμνων καὶ οἴνο|υ μετρητὰν καὶ ἄλλα | ἀπάργματα ὧν αἱ ὧρ||αι φέρουσιν, μηνὸς Ἀρτε|μισίου πέμπται ἱσταμ|ένου καὶ μηνὸς Ὑακινθίο|υ πέμπται ἱσταμένου.

716-18. Cos. **Fragments d'un calendrier liturgique.** (IIIe s. av. J.-C)

716. Plaque de marbre incomplète en haut et en bas. Trouvée à Cos. — Hicks, *Journ. of Hell. Stud.*, IX (1888), p. 332 s. — Paton-Hicks, 37. — Müllensiefen-Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 3636. — Cf. Haussoullier. *Rev. des Ét. gr.*, II (1889), p. 195 s.

---- ἐς δὲ [τ]||ὰν [ἀγορ]ὰν ἐλάντω Πάμφυλοι πρᾶτοι, ἐν ἀγορᾶι δὲ σ[υ]μμί[σ]γον|τι, ὁ δὲ ιερεὺς κα[θ]ήσθω [πὰρ] τ[ὰν] τράπεζαν

ἔχων τὰ[ν | φιά]λ[α]ν τὰν ἱεράν, τοὶ δὲ ἱερ[οποιοὶ ἑκατ]έρω τᾶς τραπέζας. Π[άμ|φυλοι] δὲ ἐπελάντω βοῦ[ς τρεῖς τοὺ]ς [κ]αλλί-[σ]τους, αἰ μ[έγ κα | το]ύτωγ κριθῆι τις· αἰ [δὲ μή, Ὑλλεῖς τρ]εῖς ἐλάντω, αἰ μέγ [κα τ|ο]ύτωγ κριθῆι τις· αἰ δὲ [μή, Δυμᾶνες τρε]ῖς τοὺς [λ]οιπούς, α[ἰ μέ|γ] κα τούτωγ κριθῆι τις· α[ἰ δὲ μή, ἁτέρους] ἐλάντω ἐς τὰν ἀγ[ορ]||ὰν καὶ ἐπελάντω κατὰ τα[ὐτά, αἰ μέ]γ κα τούτωγ κριθῆι τ[ις· | α]ἰ δὲ μή, τρίτον ἐπελάντω καὶ ἁτ[έρους]· αἰ δέ κα τούτωγ κρι[θῆι] | μηδείς, ἐπικρίνονται βοῦν ἐκ χι[λια-σ]τύος ἑκάστας· ἐλά[σα]||ντες δὲ τούτους συμμίσγον[τι τοῖ]ς ἄλλοις· καὶ εὐθὺς [κρίν]||οντι καὶ εὔχονται καὶ ἀποκαρύ[σσον]τι· ἔπειτα ἐπελάντ[ω αὖ]||τις κατὰ ταὐτά· θύεται δέ, αἰ μέγ κα ὑπο-κ[ύψ]ει, τᾶι Ἱστίαι· θύ[ει | δὲ γ]ερεαφόρος βασιλέων καὶ ἱερὰ παρέχει καὶ ἐπιθύει ἱερὰ ἐξ [ἡ|μ|ιέκτου, γέρη δὲ λαμβάνει τὸ δέρμα καὶ τὸ σκέλος, ἱεροποι[ῶν | δ]ὲ [σ]κέλος, τὰ δὲ ἄλλα κρέα τᾶς πόλιος. Τὸν δὲ κριθέντα τ[ῶι] | Ζηνὶ κάρυκες ἄγοντι ἐς ἀγοράν· ἐπεὶ δέ κα ἐν τᾶι ἀγορᾶι ἔω[ν||τ]ι, ἀγορεύει οὗ κα ἦι ὁ βοῦς, ἢ ἄλλος ὑπὲρ κήνου ἐνδέξιο[ς· Κ|ώ]ι[ο]ις παρέχω τὸ[μ] βοῦν, Κῶιοι δὲ τιμὰν ἀποδόντω <το> τᾶι Ἱστία[ι]. | Τιμώντω δὲ προστάται ὀμόσαντες παραχρῆμα. Ἐπεὶ δέ κα τι[μαθ ῆ]ι, ἀναγο-ρευέτω ὁ κᾶρυξ ὁπόσ[ου κα τιμαθ]ῆι· τούτω δὲ ἐ[λ]άντ[ω πα|ρ]ὰ τὰν Ἱστίαν τὰν Ταμίαν, καὶ ὁ [...... ἱ]ερεὺς στέ[π]τει καὶ [ἐκ]||-σπένδει κύλικα οἴνου κεκραμένου [π]ρὸ τοῦ [βοό]ς· ἔπειτα ἄγοντι τὸ[μ β|ο]ῦν καὶ τὸγ καυτὸν καὶ [φ]θοΐας ἑπτὰ καὶ μέλι καὶ στέμμα· ἐξάγ[οντ|ε]ς δὲ καρύσσοντι εὐφαμίαν, κῆν [σίτοις δ]ήσαντες τὸμ βοῦν κα[λ|λύν]ονται θαλλῶι καὶ [δάφ]ναι· τοὶ δὲ [ἱερεῖς κ]αρπῶντι τὸμ μὲγ χοῖ[ρ ον| καὶ τὰ σπλάγχνα ἐπὶ τοῦ βωμοῦ ἐπι[σπένδ]οντες μελίκρατον, ἔ[ντε||ρα δ]ὲ [ἐ]κπλύναντες παρὰ τὸ[μ βωμὸν καρ-π]ῶντι· ἐπεὶ δέ κα καρπω[θῆι, | να]π[οιὸς] ἐπισπενδέτω μελίκ[ρα-τον, κᾶρυξ δ]ὲ καρυσσέτω ἑορτάζ[εν | .]ο. . ο. ἐνιαύτια ὡραῖα ἑο[ρ-τάν· ἱερεὺς] δὲ τοῖς ἐντέροις ἐπιθυέ[τω | θ]ύη καὶ [τοὺς] φθοΐας καὶ σπονδὰ[ν ἄκρατο]ν καὶ κεκραμέναν καὶ στέ[αρ. Με|τ]ὰ τοῦτο δὲ ἰόντω παρ τοὺς ἱαροποι[οὺς ἐς] τὸ οἴκημα τὸ δαμόσιον ἱα[ρε||ὺ]ς καὶ κάρυκες, ἱαροποιοὶ δὲ ξενιζό[ντω τὸν ἱ]ερῆ καὶ τὸς κάρυκας τ[αύτ|α]ν τὰν νύκτα· ἐπεὶ δέ κα σπονδὰς ποιήσ[ω]νται, αἱρε(ί)σθω ὁ ἱαρεύ[ς· | ...]η τῶν ἱαροποιῶν βοὸς τοῦ θυομένου τῶι Ζηνὶ τῶι Πολιῆι, καὶ προ[αγορ ευ]έτω ἁγνεύεσθαι γυναικὸς καὶ ἀ[νδρὸ]ς ἀντὶ νυκτός· τοὶ δὲ κάρυ[κες | αἱρ]είσθω σφαγῆ τοῦ βοὸς ὅγ κα χρήζωντι ηὑτῶν, καὶ προαγορευέ[τω || τῶι αὐ]λητᾶι τῶι αἱρεθέντι κατὰ ταὐτά. Τᾶι αὐτᾶι ἁμέραι· Διονύσωι [Σκ υλλί-τ]αι χοῖρος καὶ ἔριφος· τοῦ χοίρου οὐκ ἀποφορά· θύει δὲ ἱερεὺς κ[αὶ ἱε|ρ]ὰ παρέχει· γέρη φέρει δέρμα, σκέλος.

Ἰκάδι· βοῦς ὁ κριθεὶς θύεται Ζηνὶ [Πο|λιῆ]ι καὶ ἔνδορα ἐνδέρεται· ἐφ' ἑστίαν θύεται ἀλφίτων ἡμίεκτον, ἄρτο[ι δ|ύ]ο ἐξ ἡμιέκτου, ὁ ἅτερος τυ[ρ]ώδης, καὶ τὰ ἔνδορα· καὶ ἐπισπένδει ὁ ἱε[ρ||εὺς] τούτοις οἴνου κρατῆρας τρεῖς· γέρη τοῦ βοὸς τῶι ἱερῆι δέρμα κ[αὶ σκ|έ]λος· ἱερὰ ἱαρεὺς παρέχει ... κ.. ἥπατος ἥμισυ καὶ κοιλίας ἡμ[ισυ], | θυαφόρωι δὲ τοῦ σκέλεος τοῦ τῶν ἱεροποιῶν [δίδ]οται ἀκρίσχιον, [ν]|ώτου δίκρεας, ὑπώμαια, αἱματίου ὀβελὸς τρικώλιος, Νεστορίδαι[ς] | ν[ώτ]ου δίκρεας, ἰατροῖς κρέας, αὐλητᾶι κρέας, χαλκέων καὶ κερα[μέ|ω]ν ἑκατέροις τὸ κεφάλαιο[ν ---------------------------|-] απ--ιεται εκτοστο [--- Τᾶι] αὐτᾶι ἁμέραι· Ἀθαναίαι Πο[λιά]|δι οἶς κυεῦσα· θύει δὲ ἱε[ρεὺς καὶ] ἱερὰ παρέχει· γέρη λαμβάνει δ[έρ|μ]α καὶ σκέλος.

Ἐνάται με....α· Διονύσωι Σκυλλίται χοῖρος [καὶ ἔ|ρ]ιφος· τοῦ χοίρου οὐκ ἀποφορά· θύει ἱερεὺς καὶ ἱερὰ παρέχει· γέρη [λα]||μβάνει δέρμα καὶ σκέλος.

Ἑβδόμαι ἀνομέν[ου]· ἐσς Ἀλκηΐδας Δ[άμα]||τρι οἶς τέλεως καὶ τελέα κυεῦσα· τούτων οὐκ ἀποφορά· κύλικες [οἴ|νου] δύο δίδονται· θύει ἱερεὺς καὶ ἱερὰ παρέχει· γέρη δὲ οὔατα.

Ἕκχτα[ι· | Διονύσωι] Σκυλλίτα[ι χοῖρος καὶ ἔριφος]· τοῦ χοίρο[υ οὐκ ἀποφορά· θύει | ἱ]ε[ρε]ὺς κ[αὶ ἱερὰ παρέχει ----

Le marbre porte, ligne 29, ΣΤΕΓΤΕΙ.

717. Marbre placé dans une vieille église à Cos. — Hicks, *Journ. of Hell. Stud.*, IX (1888), p. 327 s. — Paton-Hicks, 38. — Müllensiefen-Bechtel, *Samml. Griech. Dial.-Inscr.*, 3637. — Cf. Keil, *Athen. Mitth.*, XX (1895), p. 32.

--------αι- [θύει ἱαρεὺς | καὶ ἱερὰ παρέ]χει· γέρ[η] λαμβάνει δέρμα καὶ σκέλη. ⁝ Τ[ᾶι αὐτ]|ᾶι ἁμέραι· Ῥέαι οἶς κυεῦσα καὶ ἱερά, ὅσσαπερ τοῦ Πεδαγειτν[ίο]|υ γέγραπται· τούτων οὐκ ἀποφορά· θύει ἱαρεὺς καὶ ἱερὰ παρέχε[ι· γ]||έρη λαμβάνει δέρμα.

Δεκάται· Ἥραι Ἀργείαι Ἑλείαι Βασιλείαι δάμ|αλις κριτά, κρινέσθω δὲ μὴ ἐλάσσονος ἐωνημένα πεν[τ]ήκοντα δραχμᾶν· θύει ἱαρεὺς καὶ ἱερὰ παρέχει· γέρ[η] λαμβά[νει] | δέρμα καὶ σκέλος· ταύτας ἀποφορά· ἔνδορα ἐνδέρεται, καὶ θύ[εται] | ἐπὶ τᾶι ἱστίαι ἐν τῶι ναῶι τὰ ἔνδορα καὶ ἐλατὴρ ἐξ ἡμιέκτου [σπ]||υρῶν· τούτων οὐκ ἐκφορὰ ἐκ τοῦ ναοῦ.

Ἑνδεκάται· Ζηνὶ Μαχα|νῆι βοῦς κρίνεται τὸ ἅτερον ἔτος ἐφ' οὗ κα ἔωντ[ι] Κ[α]ρνεῖαι, κα[θά]π]ερ τοῦ Βατρομίου τῶι Ζηνὶ τῶι Πολιῆι κρίνεται, κα[ὶ] χο[ῖ]ρος προ|καυτεύεται καὶ προκαρύσσεται καθάπερ τῶι Πολιῆι.

Δυωδε[κ]άται· Ζηνὶ Μαχανῆι οἶες τρεῖς τέλεωι καὶ βοῦς ὁ κριθεὶς τὸ ἅτερον ἔτος ἐφ' οὗ κα ἔωντι Καρνεῖαι, τὸ δὲ ἅτερον ἔτος οἶες [τ]ρεῖς τέλεωι· ταῦτα θύει ἱαρεὺς ὁ τῶν Δώδεκα Θεῶν, καὶ ἱερὰ π αρέχει· τούτοις προθύεται παρ τὸγ κο[ιν]ὸν ἃ φέροντι Φυλεομ α[χ]ίδαι ἀλφίτων ἡμίεκτον, οἴνου τετάρταν· γέρη δὲ Φυλεομ αχίδαις δίδοται τοῦ βοὸς ὁπλά, ταρσός, τῶν δὲ οἴων τὸ ὠμὸν ἐξ οὗ ἁ θεομοιρία τάμνεται κα[ὶ] τὸ στ]ῆθος· γέρη λαμβάνει ὁ ἱα[ρεὺς σκέλη καὶ δέρματα. ⁝ Τᾶι αὐτᾶι ἁμέραι· Ἀθαναί[αι] Μαχα[νί]δι δάμαλις κριτὰ τὸ ἅτερον ἔτος ἐφ' οὗ κα ἔωντι Καρνεῖα[ι, τ]ὸ δὲ ἅτερον ἔτος οἶς τελέα· θύει ἱαρεὺς καὶ ἀπορραίνεται θαλ άσσαι· τούτων οὐκ ἀποφορά· [θύ]στρα δίδοται τᾶι θεῶι ἐλαί[ο]υ τέτορες κοτυλέαι, οἴνου τετάρτα, πρόχοι καιναὶ δύο καὶ κύλ[ι]κες] καιναὶ τρεῖς· .ο..........ις τὰμ πόλιν ὠνεῖσθαι δάμ[αλιν | -------- δρ]αχμ.....υ...

ρων, Ὀνασικράτους ἀνάθημα, ὁλκὴν ·⊢ΙΙΙ· δακτύλιος χρυσοῦς | [σ]υντεθλασμένος, ὁλκὴν ·⊢⊢⊢ΙΙΙΙΙ· δακτύλιος χρυσοῦς ἀνθράκιον ἔχων, Σαπφοῦς ἀνάθημα, ὁλκὴν ·⊢⊢· χρυσίου ἀσήμου παντοδαποῦ ὁλκὴν | δραχμαὶ ·ΗΠ· σὺν τῶι κλάσματι τῶι τοῦ θυμιατηρίου· χρυσοῦς, Νικολάου ἀνάθημα· στέφανος χρυσοῦς, ὃν ἀνέθηκε Πευκέστης, ὁλκὴν σὺν τ[ῶι] | λίνωι, δραχμαὶ ·𐅄Δ Π⊢⊢⊢⊢· στέφανος χρυσοῦς κιττοῦ, βασιλέως Πτολεμαίου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·ΗΔΔΔΙΙΙ· σὺν τῶι λίνωι· στέφανος | <στέφανος> δάφνης χρυσοῦς, βασιλέως Δημητρίου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·𐅄ΔΔΠ⊢⊢⊢· στέφανος δάφνης χρυσοῦς, Ἀντιπάτρου ἀνάθημα, ὁλ[κὴν | δρ]αχμαὶ ·ΔΔΔΠ⊢⊢· στέφανος χρυσοῦς, βασιλέως Σιδωνίων Φιλοκλέους ἀνάθημα, ὁλκὴν δραχμαὶ ·𐅄ΔΔΔΠ⊢⊢· στέφανος δάφνης χρυσοῦς, Πολυκλείτου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·𐅄ΔΔΔΙΙΙ· στέφανος χρυσοῦς, Φάρακος Λακεδαιμονίου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·𐅄· σὺν τῶι ξύλωι [καὶ] | τῶι λίνωι· στέφανος χρυσοῦς κιττοῦ, τοῦ δήμου τοῦ Δηλίων ἀνάθημα, ὁλκὴν δραχμαὶ ·𐅄ΔΔΔΠ⊢⊢⊢· στέφανος μυρρίνης χρυσοῦς, Πνυταγόρου | ἀνάθημα, ὁλκὴν δραχμαὶ ·ΔΔΔ⊢⊢· στέφανος δάφνης χρυσοῦς, Ξενοφάντου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·𐅄Δ⊢⊢⊢⊢· στέφανος δάφνης χρυσοῦς, Καλλικ[ράτ]ους ἀνάθημα, ὁλκὴν δραχμαὶ ·ΔΔΔΠ⊢⊢⊢⊢· στέφανος χρυσοῦς μυρρίνης, Νικοκρέοντος ἀνάθημα, ὁλκὴν δραχμαὶ ·𐅄ΔΠ⊢⊢· στέφανοι χρυσοῖ δύο ἐπὶ [τοῦ] | αὐτοῦ ξύλου ἀνεπίγραφοι, ὁλκὴν δραχμαὶ ·ΔΔΔΠ⊢⊢⊢· στέφανος χρυσοῦς, Ἰωμίλκου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·ΔΔ⊢⊢⊢⊢· στέφανος ἀμπέλου χρυ|σοῦς, Λυσάνδρου Λακεδαιμονίου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·𐅄ΔΠ⊢⊢⊢⊢· στέφανος δάφνης χρυσοῦς, Λυσάνδρου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·ΔΔΠ⊢[⊢-]· | στέφανος χρυσοῦς, Κάρπου καὶ Ἀδράστου ἀνάθημα, ὁλκὴν δραχμαὶ ·ΔΔΔ⊢⊢⊢· στέφανος χρυσοῦς μυρρίνης, Ἀνδροκλέους ἀνάθημα, ὁλκὴν δραχμαὶ ·ΔΔΔ⊢· σὺν τῶι λίνωι· στέφανος μυρρίνης, Τιμασιπόλιος ἀνάθημα, ὁλκὴν δραχμαὶ ·ΔΠ⊢⊢⊢· στέφανος χρυσοῦς, ἐπὶ τοῦ ὑπερθύρου || προσηλωμένος, ἄστατος, Τιμοκράτους ἀνάθημα· στέφανος χρυσοῦς δάφνης, ὧι τὸ ἄγαλμα ἐστεφανῶται, ὁλκὴν δραχμαὶ ·ΗΔΔΔΔΠ⊢· στρεπτὸν | χρυσοῦν — — πρὸς τῶι τοίχωι, Δάτιδος ἀνάθημα, ὁλκὴ δραχμαὶ ·ΔΔΔΠ⊢· στέφανοι δάφνης χρυσοῖ δύο πρὸς τῶι τοίχωι· ὁλκὴν τοῦ πρώτου δραχ|μαὶ ·𐅄Δ⊢⊢⊢ΙΙΙ· τοῦ ἑτέρου στεφάνου ὁλκὴν δραχμαὶ ·ΔΔΔΔΠ⊢⊢⊢· χρυσίου παντοδαποῦ, ὁλκὴν δραχμαὶ ·Π⊢⊢· σὺν τῆι σφραγῖδι τῆι ἀργυρᾶι — — | κηρύκειον ἀργυ-

ροῦν, ὁλκὴν δραχμαὶ —· κηρύκειον ἀργυροῦν φοίνικα, ὁλκὴν δραχμαὶ —· στλεγγὶς χρυσῆ, Γλαύκου ἀνάθημα, ἄστατος· | μάχαιρα ἱππική, Θυμώιδου ἀνάθημα· κολεὸν μαχαίρας ἱππικῆς; Τιμέου ἀνάθημα· θυμιατήριον χαλκοῦν· κανοῦμ μέγα χαλκοῦν τόξα | κρητικὰ δύο καὶ φαρέτραι Ζωιωταί· ὀβελίσκους ·ΓΙΙΙ· χαλκοῦ ἐπισήμου παντοδαποῦ ἐν ὑδρίαι καὶ στάμνωι χαλκοῖς, ὁλκὴν σὺν τοῖς ἀγγε||ίοις] μνᾶι ·Η· φύκιον χρυσοῦν πρὸς τῶι στυλί[σ]κωι, ὁλκὴ σὺν τῶι ἵμαντι ·⊢· δακτύλιος φωκαΐδος λογχὴν ἔχων σημεῖον· σφραγῖδα ἐπίχρυσον· | [κυ]λίκιον ἀργυροῦν, ὁλκὴν ΙΙΙ· ἐσχαρὶς ἀργυρᾶ, Βουλομάγας ἀνάθημα, ὁλκὴν σὺν τῶι ἐμπύρωι δραχμαὶ ·𐅅Η· — |

[Ἐν] τῶι νεῶι οὗ τὰ ἑπτά, ἐν τῶι προδόμωι· Φιάλη λεία ἐμ πλινθείωι, Καλλικλέους ἀνάθημα· φιάλαι τρεῖς ἐμ πλινθείωι ἔκτυποι, Ταυρομενι[τῶν ἀ]νάθημα· φιάλη λεία ἐμ πλινθείωι, Εὐθυδίκου ἀνάθημα· στέφανος χρυσοῦς προσηλωμένος, Αὐτοκλέους ἀνάθημα, ἔχων φύλλα ΔΔΙΙ || [κύκκου]ς ·ΓΙΙΙ· στέφανος δάφνης χρυσοῦς, Νικίου ἀνάθημα, ἀριθμὸς φύλλων ·ΔΔΔΔΙΙ· κόκκοι ·ΔΙΙΙΙ·

Ἐν τῶι νεῶι· Στέφανος χρυσοῦς συντεθλα||[σμένος] ἐγ κιβωτίωι, ὁλκὴν ·𐅄ΔΔΔΔΓ⊢⊢· ἄλλος στέφανος χρυσοῦς συντεθλασμένος ἐν τῶι αὐτῶι κιβωτίωι, ὁλκὴν δραχμαὶ ·𐅄ΔΔ⊢· φιάλ[αι | ·ΔΔΔ·, ὁ]λκὴν πᾶσαι ·ΧΧ𐅅ΔΓ⊢⊢⊢⊢· κυμβία τέτταρα, ὁλκὴν ·Η𐅄Γ⊢⊢⊢· τῶγ κρεμαμένων στεφάνων· ὁ πρῶτος, ὁλκὴν δραχμὰς ·ΗCΤ· ὁ δεύτερος, ὁλ||κὴν] ·𐅄ΔΔΔ⊢⊢⊢ΙΙΙ· ὁ τρίτος, ὁλκὴν ·𐅄ΔΓ⊢⊢⊢ΙΙΙΙΙ· ὁ τέταρτος, ὁλκὴν ·𐅄ΔΓ⊢⊢ΙΙΙΙ· ὁ πέμπτος ἐπιγραφὴν εἶχεν ·ΗΔ⊢⊢⊢ΙΙΙ· σταθεὶς δ᾽ εἵλκυσεν | ·[Η]ΔΔ⊢⊢· ὁ ἕκτος ἐπιγραφὴν μὲν εἶχεν ·𐅄Δ⊢⊢⊢· σταθεὶς δ᾽ εἵλκυσεν ·𐅄ΔΓ· ὁ ἕβδομος, ὁλκὴν ·𐅄ΔΓ⊢⊢⊢⊢ΙΙΙ· ὁ ὄγδοος, ὁλκὴν ·𐅄ΔΔ⊢⊢· ὁ ἔνατος, ὁλκὴν || ·[𐅄]ΔΓ⊢⊢⊢· ὁ δέκατος ἐπιγραφὴν μὲν εἶχεν ·𐅄ΔΔΔΔ⊢⊢ΙΙΙ· σταθεὶς δ᾽ εἵ(λ)κυσεν δραχμὰς ·𐅄ΔΔΔΔΓ⊢· ὁ ἑνδέκατος ἐπιγραφὴν μὲν εἶχεν ·𐅄ΔΓ⊢ΙΙΙΙ· σταθε[ὶς | δ᾽ ε]ἵλκυσεν ·𐅄ΔΓ⊢⊢⊢· ὁ δωδέκατος, ὁλκὴν ·𐅄ΔΔΔΙΙC· ὁ τρίτος καὶ δέκατος εἶχε μὲν ἐπιγραφὴν ·𐅄ΔΔΔ⊢⊢ΙΙΙΙΙ· σταθεὶς δ᾽ εἵλκυσεν ·𐅄ΔΔΔ⊢⊢⊢ΙΙΙ· ὁ τέταρτος | <τος> καὶ δέκατος, ὁλκὴν ·ΗΔΔΓ⊢⊢⊢ΙΙΙΙΙ· ὁ πέμπτος καὶ δέκατος εἶχε μὲν ἐπιγραφὴν ·𐅄ΔΔΔ⊢⊢ΙΙΙ· εἵλκυσε δὲ σταθεὶς ·𐅄ΔΔΔ⊢⊢⊢⊢ΙΙΙ· ὁ ἑκκαιδέκατος, ὁλ[|κ]ὴν ·ΗΔΔ⊢⊢⊢⊢· ὁ ἑπτακαιδέκατος, ὁλκὴν ·Η⊢ΙΙ· ὁ ὀκτωκαιδέκατος, ὁλκὴν ·𐅄ΔΔΔΔΓ⊢⊢⊢· ὁ ἔνατος καὶ δέκατος εἶχε μὲν ἐπιγραφὴν ·𐅄ΔΔΔ⊢⊢ΙΙ· σταθεὶς | [δ᾽ εἵ]λκεν ·𐅄ΔΔΔ⊢⊢ΙΙΙ· ὁ εἰκοστὸς

ἐπεγέγραπτο μὲν ὁλκὴν ·Η· σταθεὶς δ' εἵλκυσεν ·ΗΗΙΙΙ· ὁ εἷς καὶ εἰκοστός, ὁλκὴν ·ΗΗΙΙΙ·

Ἐν τῶι Εἰλειθυιαίωι· Βατια||κὴ ἐμ πλινθείωι, ἣν ἀνέθηκε Κλεαρχίς· φιάλη ἔκτυπα ἔχουσα Περσῶν πρόσωπα, Κτησύλιος ἀνάθημα, ὁλκὴν ·ΓΔΔΗΗ· ἀμφιδαῖ καὶ τύποι καὶ | ὄφεις καὶ δακτύλιοι καὶ κριθαί, ἀργυρᾶ, ὁλκὴν ·ΓΔΔΔΔΗ· πυρήνια χρυσᾶ καὶ ἐνδεσμίδες καὶ τύποι καὶ καρδία καὶ ἄλλα χρυσία, ὁλκὴν πάντων ·ΔΓΙΙ· | ἄλλα ζωιδάρια τέτταρα, ἓν αὐτῶν ξύλινον ἐπίχρυσον, καὶ δακτύλιοι δύο, ὁ εἷς λιθάριον ἔχων καὶ ἐνώτι(α) ὁλκὴν ·ΓΗΗΗ·, μῆλα ἐννέα ἐπάργυρα επ|., ὁλκὴν ·ΓΗΗΙ·.ἐρωτίωι καὶ βουβαλίων ζεῦγος πρὸς ξύλωι, Θεσσαλίας ἀνάθημα.

Καὶ τάδε ἀνετέθη ἐπὶ τῆς ἡμετέρας ἀρχῆς εἰς τὸ Εἰλειθυιαῖον· | Δακτυλίδιον χρυσοῦν, ἀνδριάντιον, τυπίον, χρυσᾶ· ὁλκὴ πάντων ·ΗΗ· τυπίον ἀργυροῦν, ὁλκὴν ·ΗΗ· δακτυλίδιον διάλιθον ἐν ταινιδίωι, Κερκίδος ἀν||άθημα· —

Ἐν τῆι Χαλκοθήκηι· Χαλκᾶ τάδε· Ὑδρίας ·ΔΓ· ἄλλη πυθμένα οὐκ ἔχουσα· ὑδρίαι δύο, ἑκατέρα ἓν οὖς ἔχουσα· ὑδρία ἓν οὖς ἔχου|σα· ὑδρία ἓν οὖς ἔχουσα, πυθμένα οὐκ ἔχουσα· ἄλλη πυθμένα οὐκ ἔχουσα, οὖς ἔχουσα ἕν· ὑδρία ὦτα οὐκ ἔχουσα δύο· στάμνος μέγας ἓν οὖς | ἔχων· στάμνος βοιωτιακὸς ἓν οὖς ἔχων· στάμνος ἐλαιηρός· κρατῆρες τυρρηνικοὶ τρεῖς ὑπόστατα ἔχοντες· κρατήριον τυρρηνικὸν | οὖς οὐκ ἔχον· κρατήριον λακωνικὸν τὸμ πυθμένα ἔχον ἀπο(πε)πτωκότα· κρατῆρες λακωνικοὶ τρεῖς· κανᾶ ὀρθηλὰ δύο· κανοῦμ μέγα πυθμέ|να οὐκ ἔχον· κανᾶ τρία· κάδοι λεῖοι δύο, ὁ εἷς πυθμένα οὐκ ἔχων· κάδοι στρεπτοὶ δύο· ἐσχάραι πυρκαιοὶ τρεῖς· λεβήτια ἐννέα ἀχρεῖα· χαλκία με||γάλα τρία ἀχρεῖα· χαλκία δύο μικρὰ ἀχρεῖα· χαλκία ἑπτὰ μικρὰ ἀχρεῖα· κρατὴρ στρογγύλος ὑπόστατον ἔχων· ἐχινῆ στρατιωτική· ἐξάλειπτρον· | κανᾶ μικρὰ πέντε· πινακίσκοι τέτταρες· περιρραντήριον ὑπόστατον ἔχογ καὶ ἐπιγραφήν· χερνιβεῖα δύο τετρυπημένα, τὸ ἓν οὖς οὐκ ἔχον· | χερνιβεῖα ὀκτὼ τετρυπημένα· ποδανιπτῆρες δύο οὐχ ὑγιεῖς, οὖς ἔχοντες ἕν, ἑκάτερος· ψυκτῆρες τρεῖς ὦτα οὐκ ἔχοντες· λυχνεῖα | σιδηρᾶ δύο ἐπὶ τοῖς μέσοις φιάλ[ας] οὐκ ἔχοντα· ὀβελίσκοι μικροὶ ·ΔΔΔΓ· κλάσματα δύο· ἐσχάρα σιδηρᾶ· γαστροπτὶς διαπεπτωκυία· σκαφείω[ν] | κλάσματα ·Γ· δίσκοι χαλκοῖ δύο· [ἐσχα]ρίου μικροῦ ἥμυσυ κατεαγός, ὑπόστατον ἔχον· ψυκτήριον ὦτα καὶ πυθμένα οὐκ ἔχον· χεὶρ σιδηρᾶ· οἰνοχόη. —

Le marbre porte, ligne 49, ΑΣΤΑΤΟΝ. — Nous avons noté par un point en haut les petits traits qui, sur la pierre, précèdent et suivent chaque chiffre.

834. Carthaea (Céos). **Fragment d'inventaire du temple d'Apollon.** (Fin du iv^e s. av. J.-C.)

Bloc de marbre inscrit de trois côtés (I, II, III), trouvé dans les ruines du temple d'Apollon. La partie supérieure, *A*, est perdue (C.I.G., 2361-63. — Lebas-Foucart, 1776-78), la partie inférieure, *B*, actuellement à Tzia (Céos). — Nous ne reproduisons que le côté III : C.I.G., 2363. — Lebas-Foucart, 1778. — Halbherr, *Mus. Ital. di Ant. Class.*, I (1885), p. 208. — Cf. Szanto, *Wiener Studien*, VIII (1886), p. 9 s. — Swoboda, *Ibid.*, X (1888), p. 291 s. — Pridik, *De Cei insulae rebus*, p. 127 s. et 142 s. (nº 14.)

A

Παρὰ χορηγοῦ Θεοκλε[ί τ]ου τοῦ Νικηράτου | τὸν στέφανον ἐλάβο|μεν : Η. — ||

Παρὰ χορηγοῦ Θεο|κλέους τὸν στέφα|νον ἐλάβομεν : Η. |

Παρὰ ἄρχοντος | Δεινοκλέους || τὸν στέφανον | ἐλάβομεν : Η. | Παρὰ ἄρχοντος | [Κτ]ησία τοῦ Νικηράτου | τὸν στέφανον Η. ||

Παρὰ στρατηγῶν | Σωκράτους, | Ἀρίστωνος, | Νικία, τὸν στέφα[νον] | ἐλάβομ[εν : Η]. ||

Παρὰ - - - - | - τη - - -

B

- - - τὸν στέ||φανον : Η]. — | [Παρὰ σ]τρατηγῶν | - - - ξένους || [Π]ολυστράτου τὸν | [σ]τέφανον : Η. | Παρὰ χορηγοῦ | Τελλία τὸν στέ|φανον : Η. — | Παρὰ στρατηγῶ[ν] | Ἀριστοπείθους, | Θεοκλείους, Εὐκτήμονος, | τὸν στέφανον : Η. | Παρὰ χορηγοῦ | Καλλιγένους | τὸν στέφανον : Η. | Παρὰ στρατηγῶν | Φερεκλείους, Θεοδώρου, | Ἐτεάρχου, | τὸν στέφανον : Η. | Παρὰ χορηγοῦ | Φιλοκλείους || τὸν στέφανον : Η. | Παρὰ χορηγοῦ | Ἐπιγένους | τὸν στέφανον : Η. | Παρὰ στρατηγῶν || Χάρητος, | Φιλοκλέος, | Καλλιστράτου, | τὸν στέφανον : Η. |

Ἐπὶ ἄρχοντος | Ἀλεξιτέλους· | Ἀριστοπείθης | Ἐρασικλείους | χορηγήσας παι|σὶν εἰς Δῆλον, || στεφανωθεὶς | ὑπὸ τοῦ δήμου | χρυσῶι στεφά|νωι, ἀνέθηκεν | τὸν στέφανον || τῶι Ἀπόλλωνι | δραχμὰς ἑκα|τόν. — |

[Π]αρὰ χορηγοῦ | τῶν ἀνδρῶν || Ἀρετᾶνος τὸν | στέφανον ἐλά|βομεν : Η. |

Παρὰ χορηγοῦ | τῶν παίδων || Δεξιθέου τ[ὸν] | στέφανον ἐ[λά]||βομεν : Η. |

Παρὰ χορηγοῦ | τῶν παίδων || Ἀγλωκλείδου | τὸν στέφανον | ἐλάβομεν : Η. | —

835. Halicarnasse. Vente, au profit des dieux créanciers, des biens et des personnes de débiteurs insolvables. (Milieu du v^e s. av. J.-C.)

Plaque de marbre blanchâtre inscrite des quatre côtés (*A*, *B*, *C*, *D*), complète dans le haut, légèrement endommagée sur les côtés et brisée dans le bas. Trouvée dans la citadelle de Boudroun. — Haussoullier, *Bull. de Corr. Hell.*, IV (1880), p. 296 s. et p. 522. — Dittenberger, 6. — Bechtel, *Inschr. d. Ion. Dial.*, 240. — Hoffmann, *Griech. Dial.*, III, p. 75 (n° 173). — Cf. Szanto, *Wiener Studien*, IX (1887), p. 284 s. — Keil, *Hermes*, XXIX (1894), p. 249 s. — Nous ne reproduisons que le côté *A* et le début de *B*.

A. Θε[οί]. | [Ο]ἵδε ἐπρίαντο παρὰ τοῦ Ἀπόλλωνος κα[ὶ τῆς] | Ἀθηναίης καὶ Παρθένου γέας καὶ οἰκίας [τῶν] | ὀφειλόντων τοῖς θεοῖς τούτοις· βεβαιοῦν το[ὺς | θ]εοὺς τὸν ἀΐδιον χρόνον, συμβεβαιοῦν δὲ το[ὺς] | νεωποίας τῶν θεῶν τοὺς αἰεὶ ὄντας καὶ ἐξορκίζε[σ]|θαι κατὰ ταῦτα : Κονδμάλας Ἀρλιώμο γῆν τὴν Αἰγ[υ]|πτίο τοῦ Ἀρχαγόρεω τὴν ἐλ Λυρισσῶι καὶ τὰ ἐν τῆι Κυ|ογρισσίδι, ὅσα πρὸς τῆι αὐλῆι ταύτηι, δρα(χμῶν) ΜΧΗΗΗ. | [Ζ]ηνόδωρος Ἀρυάσσιος οἰκίην τὴν Ἀρτέμωνος τοῦ | Παναμύω τὴν ἐν Σαλμακίδι δρα(χμῶν) ΗΗΗ𐅄 : Τεισίμαχος | [Ἡ]ρακλείδεω γῆν τὴν Ἀρβήσσιος τοῦ Ἀπολλωνίδεω [τ]ὴμ πρὸς Σαλμακίδι δρα(χμῶν) ΗΗΗΔΔΔ : Βόσθων Ἀστυ|[ν]όμου οἰκίην τὴν Ἀρλιώμο τοῦ Πύργωνος τὴμ πρὸ[ς | τῶι τ]είχει καὶ τὸ κηπίον τὸ πρὸς τῆι οἰκίηι δρα(χμῶν) ΧΗΗ𐅄ΔΔΔΔ | [Παντ]αλέων Ἀρτέμωνος γῆν ἐγ Κότοις τὴν Ἀρλιώμο | [τοῦ Π]ύργωνος 𐅄Δ : Λεοντίσκος Οὐλιάδεος καὶ Διοσ|[κουρί]δης Πιρώμιος γῆν ἐγ Κευάρωι πᾶσαν τὴν Ἀργείο | [τοῦ Π]ύργωνος 𐅄ΗΗΗΔΔ : Παραύσσωλλος Πανυάσσιο[ς | γῆ]ν τὴν ἐν Οὐασσῶι τὴν Ἀρλιώμου τοῦ Πύργωνος Η [: | Πα]νταλέων Ἀρτέμωνος γῆν τὴν ἐμ Πουνομούοις τῆ[ν | Ἀρ]λιώμου τοῦ Πύργωνος 𐅄 : Πρωταγόρης Ἡρακλείδε[ω] | γῆν τὴν Ἰάσονος τοῦ Παναβλήμιος 𐅄ΗΗΗ𐅄Δ : Ἀρλί[ω]μος Κυτβελήμιος οἰκίην τὴν ἐν Σαλμακίδι τὴν | [Μ]όσχου τοῦ Ἀρλιώμο καὶ αὐτὸγ καὶ ὧν ἱκνεῖται ΗΗΗ|..Δ : Γρίσων Ἀμύντεω γῆν ἐν Ὠνζωσσυάσωι τὴν Τύ[μνε|ω το]ῦ Συεσκυρέβο ΧΗ : Μόσχος Τενδέσσιος γῆν ἐγ Κότο[ις | τὴ]ν Λύξεω τοῦ Πίγρεω Χ𐅄ΗΗΗΗ. Ποσειδώνιος Δημητ[ρίο | γ]ῆν ἐλ Λυρισσῶι τὴμ Πυθοδώρο τὸ Δημητρίο 𐅄Η𐅄Δ. || ..νων Ἀντιδότο οἰκίην τὴμ Μέλωνος τοῦ Σιληνõ 𐅄𐅄. | [Κ]αλλίστρατος Θεοδώρο γῆν ἐλ Λυρισσῶι τὴν Σα|τύρου τοῦ Ἱστιαίο ΧΧΧ𐅄Η : Διοσκουρίδης Πιρώμιο[ς] | οἰκίην τὴμ Μέλωνος τοῦ Σιληνοῦ τὴν ἐμ πόλει | Χ𐅄ΔΔΔΔ : — Ἀμύντης Ἀρχίππο γῆν ἐγ Κάσαι || τὴμ Μέλωνος τοῦ Σιληνõ

𐅅ΗΠ : Χαιρέδημος Ἀρχαγό[ρ]εω γῆν τὴν Λητοδώρου τô Μεγαβάτεω καὶ τὴν οἰκίην | [τ]ὴν ἐμ πόλει : ΤΗΠΔΔΔΠΗΗΗ : Μόσχος Τενδέσσιος γῆν | ἐν Λίδηι τὴμ Βάτωνος τοῦ Μικίννω ΗΗ : Ἀρτέμω(ν) Σέσ|κωδος γῆν ἐν Σαράνσωι ἣν εἶχεν Ἑρμαπὶς ἢ ἡν Ἀλ[έ]|ξιος ΧΗΔΔΔΔ : Ἀκταύσσωλλος Σασσώμο ἐπρίατο | οἰκίην ἐν Σαλμακίδι τὴμ Πανυάσσιος τοῦ Ἰδαγύγο Η. | Ὑσσώιης Ἀρβήσιος ἐπρίατο γῆν τὴν Διοτίμο τοῦ Σαρυ|σώλλο τὴν ἐν Ὠσπραόννωι ἥτις ἦν Κακρᾶδος καὶ τὴν | θάλασσαν ὅπου τὸ ὁρκυνεῖον 𐅅ΗΗΗΠΔΔ : Ἀθηνίων || Τρυώλο οἰκίην ἐμ πόλει ἣν εἶχεν Ἀρτύασσις τô Βορόρο τὴν Ἀλέξιος ΧΧ : Πολύιδος ἐπρίατο οἰκίην τὴν Γνά|θωνος τὴν ἐν Ἄργει, ἧι γείτωμ Ποσειδώνιος καὶ Ἰδάγυγο[ς] | καὶ Γεροντίδης ΧΗΗ : [----------|---------- ------ || Π]ανύασσις Δημητρίο οἰκίην τὴν Στράτωνος ἧι γείτων | [Εὔ]ιππος 𐅅ΗΗΗ : Ἀντιπᾶς Σκύθεω ἐπρίατο οἰκίην τὴμ Μικί|[ννω] τοῦ Σχινοσίο ΠΔΠΗ : ----------|---------- Ἀνάξας | [---- ἐ]πρίατο οἰκίην τὴν Ἀρτεμιδώρο τοῦ Ἀλγάνιος || [------ Κ]υάτβης Πονυσσώλλο οἰκίην τὴν Κουλδόιδος | [τοῦ ----|ώλλο ΗΗΠΔΔΔΔΠΗ : Μόσχος Τενδέσσιος | [ἐπρίατο γῆ]ν ἐν Λυρισσῶι τὴν Μικύθο τô Ἰμβράσσιδος | -----ΧΧΔΔΔΔΠ : Ἀθηνίων Ἰμβάρσιδος ἐπρίατο [γῆν τὴν Πανταλέο]ντος τô Ἀρτέμωνος ἐν Σ(α)ράνσωι ἥτις ἦν || ------ : Πολύϊδος ἐπρίατο γῆν ἐν [-------- | ἥτις ἦν Ἀλέ]ξιος ἧι ὅμουρος Καλαβώτης | -------- ΔΔΠΗ : Σπαρεύδιγος Πανυάσσιος | [ἐπρίατο γῆν ἐν --]ωι ἣν αὐτὸς εἶχεν ἢ ἣν Α..τιος | ------λος Ταυσᾶδος τὴν ἐ[ν .]νοσ||[--------- οἰκίη]ν τὴν ὄπισθε τοῦ Ἀπολ[λωνίου | -------]ντι-----

B. [Οἵδε ἐπρίαντο τοὺς ὀφείλοντ]ας τοῖς θεοῖς | [--- καὶ αὐτοὺς κ]αὶ ὧν ἱκνέονται -----

836-38. Milet. Inventaires du temple d'Apollon Didyméen. (Milieu du IIe s. av. J.-C.)

836. (156/155 av. J.-C.) — Gravé sur le même marbre que notre n° 39. Le marbre considéré comme perdu a été retrouvé par M. Haussoullier, en 1897, dans la cour de l'église de Hiéronda. — C.I.G., 2855 (d'après Sherard). — Hicks, 197. — Haussoullier, *Rev. de Philol.*, XXII (1898), p. 129.

Ἐπὶ στεφανηφόρου τοῦ θεοῦ | τοῦ τρίτου· τοῦ μετὰ Μηνόδωρο[ν]· | προφητε[ύ]οντος δὲ Ἀντιπάτρου | τοῦ Μεν[ε]στράτου κατὰ ποίησιν δὲ Μενάνδρου τοῦ Μαίω|νος, ταμιευόντων δὲ καὶ παρ|εδρευόντων ἐν τῶι ἱερῶι Δημ[ητρί|ο]υ τοῦ Πασίωνος, Ἑκαταίου τοῦ | Ἀρτέμωνος· τάδε ἀνετέθη τῶι || Ἀπόλλωνι·

Ὑδρία ἐφ' ἧς ἐπιγραφὴ | Ἀπόλλωνος Διδυμέως, ὁλκὴν ἄγ|ουσα Ἀλεξα[ν]δρείας χιλίας τετρακ|οσίας ἐνενήκοντα. Φιάλη Ἀπόλλω|νος Διδυμέως ἐκ τῆς ἀποσταλείσης || ἀπαρχῆς ὑπὸ βασιλέως Προυσίου, ὁλ|κὴν ἄγουσα Ἀλεξανδρείας τριακοσίας. | Κυζικηνῶν φιάλη, ὁλκὴν ἄγουσα Ἀλε|ξανδρείας ἑκατόν. Κρατέ(ρ)ου τοῦ Κρατ[έ|ρ]ου φιάλη, ὁλκὴν ἄγουσα Μιλησίας ἐ||νενήκοντα. Κανοῦν φυλῆς τῆς Ἀσω πίδος, ὁλκὴν ἄγον Ἀλεξανδρείας πεντ ακοσίας. Βασιλέως Προυσίου προυσιάδες | δύο, ὁλκὴν ἄγουσαι ἡ μὲν Ἀλεξανδρείας | ὀκτακοσίας |τριάκοντα (?)], ἡ δ[ὲ] ὀκτακοσίας τριά||κοντα ἕξ. — Λιβανωτὶς χρυσῆ Ἀ πόλλωνος καὶ Ἀρτέμιδος, ὁλκὴν ἄγουσα | χρυσοῦς ἑκατόν· τὸ δὲ ἔμβολον |αὐτῆς| ἀ[ρ]|γυροῦν, ἄγον δραχμὰς τεσσαράκοντα τρεῖς, ὀ|βολόν. Βασιλ[ίσ]σης Καμασαρύης ...... || χρυσοῦς, ὁλκὴν ἄγων χρυσοῦς ἑκατὸν ὀγδο ήκοντα ἑπτά, ἡμίχρυσον. Ἀρτέμω[νος] | Ἀντι[γό]νου, ...α Ὑπομη[λ]ίδα, [φιά|λη] ὁλκῆς χρυσ[ῶ]ν ἑκατ[ό]ν, φιάλι[ον] | ὁλκῆς Ῥοδίων εἴκοσι. —

Ligne 24, la copie de Sherard porte ΟΚΤΑΚΟΣΙΑΣΚΑΙΕΚ.

837. (155/154 av. J.-C.) — Stèle de marbre blanc découverte en avant du temple d'Apollon Didyméen. — Haussoullier, *Rev. de Philol.*, XXII (1898), p. 114.

Ἐπὶ στεφανηφόρου τοῦ θεοῦ τοῦ τετά[ρ|τ]ου τοῦ μετὰ Μηνόδωρον, προφητεύον[το|ς δ]ὲ Ταυρίσκου τοῦ Νειλοστράτου, ταμ[ιε|υό]ντων δὲ καὶ παρεδρευόντων ἐν τῶι ἱ[ε ρῶι Χ]αιριμένου τοῦ Βίωνος, Μενεκλείου[ς | τοῦ Μ]ενεκλείους· τάδε ἀνετέθη· Βασιλέω[ς | Παιρισ]άδου φιάλη χρυσῆ, ἧς ὁλκὴ χρυσοῖ δια[κ|ό]σιοι· Χί]ων φιάλη ἧς ὁλκὴ Ἀλεξάνδρειαι ἑ[κ|ατόν· Ἀλ]αβανδέων φιάλη ἧς ὁλκὴ Ἀλεξ[άνδρ|ειαι ἑ]κατόν· Κυζικηνῶν φιάλη ἧς ὁλκ[ὴ Ἀλεξ άνδρει]αι ἑκατόν· τοῦ δήμου τοῦ Ἰασ[έων φι|άλη ἐ]πιγραφὴν ἔχουσα, Ῥοδίας μὲν [ὀγδοήκοντα, | Ἀλεξαν]δρε[ί]ας δὲ ἑξήκοντα δύο [.....|... φιάλη, ἧς] ὁλκὴ Ἀ[λε]ξ[άνδρειαι -----

838. (Milieu du IIe s. av. J.-C.) — Gravé sur le même marbre que le n° 836. — C.I.G., 2858. — Haussoullier, *Rev. de Philol.*, XXII (1898), p. 130. — Cf. Le même, *Mélanges H. Weil*, 1898, p. 149 s.

Ἐπὶ στεφανηφόρου Μενεκράτου· προφητεύ|οντος Βάβωνος τοῦ Ἀπημάντου· ταμιεύ|οντος δὲ καὶ παρεδρεύοντος ἐν τῶι ἱερῶι Κ αλλικράτου τοῦ Ἀπολλωνίου· τάδε ἀνε|τέθη τῶι Ἀπόλλωνι· Ἀθηναίου τοῦ Τ|ηρέ||ως φιάλη βοηγίαι νικήσαντος ἐφ' ἧς ἐπι|γραφή, ἐπιχώριαι ἐνενήκοντα· Κυζικη|νῶν φιάλη ἐφ' ἧς ἐπιγραφή, ὁλκὴ Ἀλεξάνδ|ρειαι ἑκατόν. —

839. Érythrées. Vente de sacerdoces.
(1re moitié du IIIe s. av. J.-C.)

Stèle de marbre inscrite de trois côtés (*A*, *B*, *C*), brisée en haut. Trouvée à Érythrées, actuellement dans le musée de l'école évangélique de Smyrne. — Rayet, *Revue Archéol.*, 1877, I, p. 107 s. — Dittenberger, 370. — Bechtel, *Inschr. d. Ion. Dial.*, 206.— Cf. Herbrecht, *De Sacerdotii apud Graecos emptione*, 1885, p. 10 s. — Lehmann, *Quaestiones sacerdotales*, I, 1888, p. 21. s. — Heller, *De Cariae Lydiaeque sacerdotibus* (*Jahrb. f. Philol.*, Suppl.-B. 18), p. 226 s. — Gæbler, *Erythrä*, pp. 61-89. — M. Gæbler, dont nous suivons en général l'interprétation, a montré que le texte inscrit sur la face *B* était le premier des trois.

B

Αἵδε ἐπράθησαν] ἱερ[η]τεῖ[αι | ἐφ' ἱεροποιοῦ ------]· Ἀχιλλέως, Θέ|[τιδος, Νηιρεΐδων ----- ἐπώνιον ------]αιος Ἀλκιμάχου, | [ἐγγυητὴς ------θ]έμιδος. Αἵδε ἐπεπράθησα[ν· || ------------] ἐπώνιον Ͱ, Ἀριστ[ῆ]ς Ἀριστε[ῦ, | ἐγγυητὴς Θεύπομπος] Δ[η]μώ[ν]α[κτ]ος. Γῆς Δ, ἐπώνιον [Ͱ, | --- Φανν]ο[θ]έμιδος, ἐγ[γυη]τὴς Ἀναξίπολις | [Διονυσίου. Ἀφρ]οδίτης Πανδήμου ΗΗ, ἐπώνιον [Δ, | Ἀριστῆ]ς Ἀριστεῦ, ἐγγυητὴς Ἀλέξανδρος || [....... Ἑστί]ας Τεμενίας ΗΓ, ἐπώνιον Γ, Ἱερο|[γένης Ἱέρω]νος, ἐγγυητὴς Δημή[τριος Ἀριστάρχου. | [Ἀθηνᾶς] Ἐπιμάχου ΗΗ, ἐπώνιον Δ, Ξενόφιλος | ------, ἐγγυητὴς Φιλιστῆς Ἑρμώνακτος. Αἵδε [ἐπεπωλήθη]σαν ἐφ' ἱεροποιοῦ Ἐπιγόνου· Δήμητρος ἐγ Κ[ο]λωναῖ[ς ΧΗΗΗ, ἐπώνιον ΔΔ, Τρέφων Σίμου, ἐγγυη|[τὴς] Ζῆνις Φιλίσκου. Ἑστίης Βουλαίης 𐅅ΗΗΗΔΔΔ, | [ἐπώ]νιον Δ, Δημήτριος Ἀπελλίου, ἐγγυητὴς Ἀπολλών|[ιος] Ζωπύρου. Ἀβλαβιῶν ΗΗΗΗ, ἐπώνιον Δ, Φιλίσκος | [Π]υθικῶντος, ἐγγυητὴς Ζηνόδοτος Μύτωνος. Διὸς | Ἀποτροπαίου καὶ Ἀθηνᾶς Ἀποτροπαίας ΓͰͰ, ἐπώνιον Ͱ[Ͱ], | Ἀριστῆς Ἀριστεῦ, ἐγγυητὴς Θεύπομπος Δημώνακτο[ς]. | Δήμητρος καὶ Δήμητρος Κόρης ΗΓΔΔΔΔ, ἐπώνιον Γ, | Ἑκατώνυμος Χρυσίππου, ἐγγυητὴς Ἑκατᾶς Γνώτου. | Διονύσου ΓΔΔΔ, ἐπώνιον ͰͰ, Θεύξενος Θρασυμ[ά]|χου, ἐγγυητὴς Πρύτανις Εἰρηνᾶδος. Ἀφροδίτης | Πυθοχρήστου ΗΗΗ, ἐπώνιον Δ, Ἡρακλεώτης Ἡ[ρο]|σῶντος. Ἀχιλλέως, Θέτιδος, Νηιρεΐδων ΓΔΔΔ, ἐπώ[νι]|ον Ͱ[Ͱ], Κ[τη]σικράτης Ἐπιγένου, ἐγγυητὴς Ἀθήν[αιος] | Ζωπυρίωνος. Ἀπόλλωνος ἐγ Κοίλοις 𐅅ΗΗΗΔ, ἐπ[ώ]|νιον Δ, Πύθερμος Ἀριστάρχου, ἐγγυητὴς Ἡρόδο|τος Εὐπαθίδου. Ποσειδῶνος Φυταλμίου ΗΔΔΔΓͰ, | ἐπώνιον [Γ], Ἐπίγονος Ἀστυκράτευ, ἐγγυητὴς Κρ[α]|τίδημος Παρμενίταδος. Κόρης Σωτείρης ΗΗΗͰͰ, | ἐπώνιον Δ, Χάρης Χάρη-

τος. Μητρὸς Μεγάλης ΗΗΗΗΓΔΔΔ, ἐπώνιον Δ, Μολίων Διονυσίου, ἐγγυη[τ]ὴς Φανόπολις Μενεκλείους. Αἵδε ἐπεπωλήθησαν | [ἐ]π' Ἀ[γα]σικλείους· Ἡρακλέους Χ𐅅ΗΗΗΗΔΔ⊢· | [Θ]εόφρων Δημητρίου, ἐγγυητὴς Ἑρμήσιος Ἑρμησιάνακτο[ς. | Ἀγ]αθῆς Τύχης Η· [Ἐ]λπήνωρ Ἀπολλωνίου, ἐγγυη[τὴ]ς Πατρεὺς Ἀπολλωνίου. Δήμητρος καὶ Κόρης [Πυ]θοχρήστου ΗΗΔ· Ἑκατώνυμος Χρυσίππου, ἐγγυ[[η]τὴς Ἑκατᾶς Γνώτου. Ἥδε ἐπεπράθη ἐπὶ Θευδώρου τοῦ | [Μ]ήτρωνος· Ἑρμοῦ Ἀγοραίου ΧΧΧΧ𐅅ΗΔ, ἐπώνιον | ΔΔΔΔ, Μολίων [Δι]ονυσίου, ἐγγυητὴς Ἄρατος Μητροδώρου. || Αἵδε ἱερητεῖαι ἐπράθησαν ἐφ' ἱεροποιοῦ Ἀπατουρίου, μηνὸς Λη[ναιῶνος· Κορυβάντων Εὐφρονιείων καὶ Θαλείων ἐπὶ Θαλέω Ἰσέως ἔ[[τι]σεν Ἀντίπατρος Ἀγασικλείους 𐅄Δ⊢, ἐπώνιον Δ, ἐγγυητὴς | Ἡρόδοτος Ἀρκέοντος. Τῶν Ἀνδρείων ἠγόρασεν Ἀριστοκλῆς Ἀδε[ι]|μάντου δραχμῶν ΗΓΔΔΔ, ἐπώνιον Γ, ἐγγυητὴς Σώισιμος || Ἀριστοκλείους. Αἵδε ἐπεπράθησαν ἐφ' ἱεροποιοῦ Ἀπατουρίου, μηνὸς | Ληναιῶνος· Ἀπόλλωνος Ἐναγωνίου ΗΗΔΔΔ, ἐπώνιον Δ, | Σῖμος Ἀπολλωνίου, ἐγγυητὴς Βακχύλος Μητροδώρου. Ἑρμοῦ | Ἀγοραίου ΧΧΧΧ𐅅Η, ἐπώνιον ΔΔΔΔ, Μολίων Διονυσίου, ἐγγυ|ητὴς Φανόπολις Μενεκλείους. Ἀπόλλωνος ἐν Σαβηρίδαις ΗΓ, || ἐπώνιον Γ, Φαναγόρας Ἀπολλοδότου, ἐγγυητὴς Ἀπολλόδοτος | Φαναγόρου. Κορυβάντων Θαλείων, Ἀνδρείων ΗΓΔΔ⊢, ἐπώνιον [Γ], | Ἡνίοχος Ἡνιόχου, ἐγγυητὴς Μητρόδωρος Μητροδώρου. Διὸς Ἐλε[υ]θ[ερίου, εἰ μὲν ἔστιν ἱερεύς, ἐπιπωλεῖται, εἰ δὲ μὴ ἔστιμ, πωλεῖται | ----, ἐπώνιον Δ, Βακχύλος Μητροδώρου, ἐγγυητὴς Σῖμος Ἀπολλωνίου. || [Αἵδε ἱ]ερητεῖαι ἐπράθησαν ἐφ' ἱεροποιοῦ Ζηνοδότου, μηνὸς Λην[αι]ῶνος· Δι]ὸς Βασιλέως ΗΗΔΔΔ, ἐπώνιον Δ, Μέδων Μέ[δον]τος, ἐγ[γυ]ητὴς [Ἱ]ερογένης Ἡροδώρου. Βασιλέως Ἀλεξάν[δρου ----- | ἐπώνιον --] ΔΔ, Θεοφάνης Ἡροδότου, ἐγγυ[ητὴς --------]

A

-------ογέ[νη]ς [-----|----- Πυθ]οχρήστου· Η-----|------ Ἑρμησίλεως Μέντο[ρος, ἐγγυ]ητὴς Δημή[τριος Ἀπελλίου. Ἀφροδ[ίτης Πυ]θοχρήστου] ΗΔΔΔ, ἐπώνιον Γ, Ἀρ[ιστο]μένης Μητροδ[ώρου, ἐγγυητὴς Βακχύλος [Μητρο]δώρου]. Διοσκόρων· ΗΗΗΗΓ, ἐπώνι[ον Δ-, | Ἡνίοχος Ἡ]νιόχου, ἐγγυητὴς Μητρᾶς Μ[-----|--- ἥδ]ε ἐπεπράθη· Ἑστίας Τεμενίας [-----||--- ἐπ]ώνιον Δ, Ἀντίπατρος Ἀπολλοδώ[ρου -----|----] Πρηξᾶς Εὐβούλου καὶ ἐπεπράθη -------|----- ἐπώνιον Γ, Ἡράκλεος

Ἀντιπάτρο[υ, | ἐγγυητ]ὴς Ἐπίκουρος Στεφάνου. Διασ[υστά|σεις ἱ]ερητειῶν ἐφ' ἱεροποιοῦ Φανοτίμο[υ || μηνὸς ---- --]νος· Δαμασίστρατος Ἑκατωνύμου | [Ἑκατων]ύμωι Δαμασιστράτου διασυνέσ|[τησεν ἱ]ερητείαν ἣν ἐπηγοράκει ἐπὶ Δ--| ---- Βάκχωνος ἐφ' ἱεροποιοῦ Πυθοκρίτου | [Ἀπό]λλωνος Καυκασέως καὶ Ἀρτέμιδος Καυ[κα|σί]δος καὶ Ἀπόλλωνος Λυκείου καὶ Ἀπόλ[λω]νος Δηλίου καὶ ποταμοῦ Ἀλέοντος, [ΗΗ|ΔΔΓ, ἐπώνιον Δ, ἐγγυητὴς Ἐπί[κου|ρο]ς Καλλιστράτου. Ἐφ' ἱεροποιοῦ Ἑρμο|[κλ]είτου, μηνὸς Ληναιῶνος, αἵδε ἐπεπρά||[θησ]αν ἱερητεῖαι ἐπ' ἐξεταστῶν τῶμ μ[ε]τὰ Ὑ]ψικλείους τοῦ Θευδότου· Ζηνὸς | [Φη]μίου καὶ Ἀθηνᾶς Φημίας ΗΔΔΔΔ, ἐπ[ώ]νιο[ν Γ, Πολυπείθης Φαννοθέμιδος, ἐ[γ γυ]ητὴς Κρίτος Θευκρίτου. Ἀθηνᾶς Νίκη[ς || Η]ΔΔ, ἐπώνιον Γ, Δημήτριος Ἀριστάρχο[υ, | ἐγγ]υητὴς Τηλέμαχος Ἀθηνογένου. Ἀθ[η|νᾶς Ἀρεί]ας 𐅄ΔΔ, ἐπώνιον ⊢⊢, Πυθοκλῆς [Ἀκέσ]τευ, ἐγγυητὴς Ἱεροίτας Ἱερογένου. [Ἐνυ]οῦς καὶ Ἐνυαλίου ΗΔΔ, ἐπώνιον Γ, [Πυθ]οκλῆς Ἀκέστευ, ἐγγυητὴς Ἱεροίτας Ἱερ[ο|γέ]νου. Διασυστάσεις ἱερητειῶν ἐφ' ἱεροπο[ι|οῦ] Φανοτίμου, μηνὸς Ἀνθεστηριῶνος | [τ]ρίτη ἐξιόντος· Ἰατροκλῆς Ἡρακλεώτου | [Ἀρ]ιστείδῃ Ἰατροκλείους διασυνέστη[σε] τὴν ἱερωσύνην Ἀφροδίτης τῆς ἐ[ν Ἐμβ]άτωι ἣν ἐπηγοράκει ἐπὶ Κηφισίωνι --|--- ἐφ' ἱεροποιοῦ Μήτρωνος, ΧΧΔΔΔΔ, [ἐπώ]νιον ΔΔΔΔ, ἐγγυητὴς Ἰατροκλῆς | [Ἡρακ]λεώτου. Ἱερητεῖαι αἱ ἐπιπωλη||[θεῖσ]αι ἐφ' ἱεροποιοῦ Ἑρμοστράτου, | [μηνὸ]ς Ποσιδεῶνος ὀγδόηι ἐξιόν|[τος· Δήμ]ητρος ἐγ Κολωναῖς ἑξα[κο|σίων], ἐπώνιον δέκα, Μητρόδ[ω]|ρος Διοφάντου· ἐ]γγυητὴς ---

C

-----ω[------ | Διόφαν]τος Κτησικράτου. Διὸ[ς | Ἀποτ]ροπαίου καὶ Ἀθηνᾶς Ἀποτ[ρο|πα]ίας Η𐅄, ἐπωνίου Γ, Καλλίας [Καλ[λίο]υ ὁ νεώτερος, ἐγγυητὴς Μη[τρό]δ]ωρος Διοφάντου. — |

Αἵδε ἱερητεῖαι ἐπεπράθησαν ἐπὶ [ἱε]|ροποιοῦ Ἡρακλεώτου, μηνὸς Ληνα[ιῶ]|νος· Διοσκόρων Ἀστύνους Εὐθύ[νου || κ]αὶ ἐπίτροπος Νοσσὼ Σίμου καὶ κ[ύριος | Ν]οσσοῦς Θεόφρων Δημητρίου· Η[..., | ἐπ]ώνιον Δ, ἐγγυητὴς Θειόφρων Δη[μη|τ]ρίου. Ἱερατέαι αἱ πραθεῖσ[αι] | καὶ ἐπιπραθεῖσαι ἐπὶ ἱερο[ποιοῦ] || Πυθέου· Ἥρας Τελείας 𐅅, | ἐπώ(νιον) Δ, Διονυσόδωρος Ἀριστομ[ένου], | ἐγγυ(ητὴς) Διονύσιος Ἀριστομέν[ου]. Θεῶν Προκυκλίων ΗΗΗΗ, ἐπώ(νιον) [Δ], Μενεκλῆς Φανοπόλιδος, ἐγγυ(ητὴς) Καλλία[ς | Κ]αλλίου. Τῶν ἐπιπραθει-

σῶν· | Ἥρας Τελείας ΗΗ𐅄Ι, ἐπώ(νιον) Δ, | [Φύ]λαρχος Αὐτονόμου, ἐγ(γυητὴς) Καλλίω[ν | Φ]υλάρχου. Θεῶν Προκυκλίων ΗΓ, | [ἐ]πώ(νιον) Γ, Μητρόδωρος Διοφάντου, || [ἐ]γγυ(ητὴς) Καλλίας Καλλίου. | [Ἀ]ρτέμιδ<ωρ>ος Φωσφόρου 𐅄 [... | ἐπώ(νιον) ...] Ζωπᾶς Ζωπᾶδος, ἐγγυ(ητὴς) Καλ[λίων | Φυ]λάρχου. Εἰρήνης 𐅄, ἐπώ(νιον) Δ, | [Διο]νύσιος Ἀριστομένου, || [ἐγ]γυ(ητὴς) Διονυσόδωρος Ἀριστομένο[υ. | Ἑρ]μοῦ Πυλίου Ἁρματέως ΗΗ𐅄ΔΔ, ἐπ[ώ(νιον) Δ, | Φύ]λαρχος Καλλίωνος, ἐγγυ(ητὴς) Καλλί[ων | Φ]υλάρχου. Διονύσου Πυθοχρήστου ΗΓ, | ἐπώ(νιον) Γ, Ἡγέμων Μητροφάνου, ἐγγ(υητὴς) || Παρμενίσκος Πυθεῦ. Διονύσου | Βακχέως Η, ἐπώ(νιον) Γ, Ἀγασικλῆς | Ζωπύρου, ἐγγυ(ητὴς) Ἀριστοκλῆς Ἀδημά[ντου]. | Ἀρισταγόρη Διονυσοδώρου με[τὰ τοῦ] | παιδὸς Διονυσοδώρου τοῦ Ἀρισ[το]||μένου, κληρονόμος οὖσα τ[ῶν] | [Ἀ]ριστομένου τοῦ Μητροδ[ώ]||<εκεν τὴγ γυναικείαν ἠγορα>|ρου κατὰ διαθήκην διασυνίσ|στησιν ἱερητείαν ἣν ἠγόρα||σεν Ἀριστομένης Μητρο[δώ]ρ]ου ἐπὶ ἱεροποιοῦ Ἡγησαγόρ[ου] μηνὸς Ληναιῶνος τριακάδι, | Ἀφροδείτης Πυθοχρήστο[υ, | δ]ραχμῶν ΗΔΔΔ καὶ ἐπωνίου [Γ .. Ἀ]πολλωνίωι Ἀριστομένου· | [ἐγ]γυητὴς Ἀπολλωνίου | [Δι]ονυσόδωρος Ἀριστομένο[υ]. | [Ἐγ]γύη ἱερητειῶν τῶμ πραθεισ[ῶν.

ORACLES

840. Athènes. **Oracle relatif au sacerdoce d'Asclépios.** (iii^e s. av. J.-C.)

Stèle de marbre trouvée à Athènes, actuellement au musée du Louvre (*Cat. somm. des marbres antiques*, 108). — C.I.G., 459. — Frœhner, *Inscr. grecques du Louvre*, 48. — Dittenberger, 368. — C.I.A., II, 1654.

Ὁ] θεὸς ἔχρησεν τῶι δήμωι τῶι Ἀθη[ναίων ἀναθεῖναι] | τὴν οἰκίαν τὴν Δήμωνος καὶ τὸν κ[ῆπον τὸν προσόντα] | τῶι Ἀσκληπιῶι, καὶ αὐτὸν Δήμωνα [ἱερέα εἶναι αὐτοῦ]. |

Ἱερεὺς Δήμων Δημομέλους Παιαν[ιεὺς ἀνέθηκεν] || καὶ τὴν οἰκίαν καὶ τὸν κῆπον, προσ[τάξαντος τοῦ θεοῦ] | καὶ τοῦ δήμου τοῦ Ἀθηναίων δόν[τος ἱερέα εἶναι] | τοῦ Ἀσκληπιοῦ κατὰ τὴν μαν[τείαν.

841. Trézène. **Oracle d'Asclépios.** (Comm. du iv^e s. av. J.-C.)

Petite pierre mal dégrossie trouvée à Trézène. — Legrand, *Bull. de Corr. Hell.*, XVII (1893), p. 86 s. — Baunack, *Indogerman. Forschungen*, IV (1894), p. 188 s. — Rœhl, *Imagines*, 2^e éd., p. 35 (n° 5). — Danielsson, *Eranos*, II (1897), p. 23 s. — Cf. Dragoumis, Ἐφημ. Ἀρχ., 1893, p. 100.

Εὐθυμίδας | ἀνέθεκε | hά κα ποιο̂ν | ποὶ τὸν θεὸν || ἰοίει λουσάμε|νος δαῆναι χρέ[ι]|ζον. Θυσάμεν[ον | h]Ηρακλεῖ λαιὸς | ἰδόντα ἐπὶ λαι[ὰ] || οἰονόν. —

842. Demetrias (Thessalie). **Décrets relatifs à l'oracle et au sanctuaire d'Apollon Koropaios.** (1^re moitié du ii^e s. av. J.-C.)

Deux morceaux (*A*, *B*) d'une grande stèle de marbre blanc, le 2^d est brisé lui-même en deux fragments. Trouvés près de Koropé. — Lolling, *Athen. Mitth.*, VII (1882), p. 71 s. — Reichl, *Der Bundesstaat der Magneten und das Orakel des* Ἀπόλλων Κοροπαῖος, Prague, 1891, p. 28 s. — Cf. Wilhelm, *Athen. Mitth.*, XV (1890), p. 287 s. — Holleaux, *Rev. de Philol.*, XXI (1897), p. 181 s.

A. Ἱερέως Κρίνωνος τοῦ Παρμενίωνος· μηνὸς Ἀρείου δεκάτηι· | Κρίνων Παρμενίωνος Ὁμολιεὺς ὁ ἱερεὺς τοῦ Διὸς τοῦ Ἀκραί ου

καὶ Διονυσόδωρος Εὐφραίου Αἰολεὺς ὁ στρατηγὸς τῶν Μα|γνήτων καὶ οἱ στρατηγοὶ Αἰτωλίων Δημητρίου Παγασίτης, Κλεο||γένης Ἀμύντου Ἁλεύς, Μένης Ἱππίου Αἰολεὺς καὶ οἱ νομοφύλα|κες Μενέλαος Φιλίππου Ἰώλκιος, Αἰνίας Νικασιβούλου, Ἀλέξαν|δρος Μενίσκου Σπαλαυθρεῖς καὶ Μένανδρος Νικίου Κοροπαῖος | εἶπαν· Ἐπεὶ τῆς πόλεως ἡμῶν καὶ πρὸς τοὺς ἄλλους μὲν θεοὺς | εὐσεβῶς διακειμένης, οὐχ ἥκιστα δὲ καὶ πρὸς τὸν Ἀπόλλωνα | τὸν Κοροπαῖον καὶ τιμώσης ταῖς ἐπιφανεστάταις τιμαῖς διὰ τὰς | εὐεργεσίας τὰς ὑπὸ τοῦ θεοῦ προδηλοῦντος διὰ τοῦ μα[ν]|τείου καὶ κατὰ κοινὸν καὶ κατ' ἰδίαν ἑκάστῳ περὶ τῶν πρὸς ὑγίεια[ν] | καὶ σωτηρίαν ἀνηκόντων, δίκαιον δέ ἐστιν καὶ καλῶς ἔχον ὄν|τος ἀρχαίου τοῦ μαντείου καὶ προτετιμημένου διὰ προγό||νων, παραγινομένων δὲ καὶ ξένων πλειόνων ἐπὶ τὸ χρηστή|ριον, ποιήσασθαί τινα πρόνοιαν ἐπιμελεστέραν τὴν πόλιν | περὶ τῆς κατὰ τὸ μαντῆον εὐκοσμίας· δεδόχθαι τῇ βουλῇ καὶ | τῶι δήμωι· ὅταν συντελῆται τὸ μαντῆον, πορεύεσθαι τὸν | ἀεὶ ἱερέα τοῦ Ἀπόλλωνος τὸν εἰρημένον ὑπὸ τῆς πόλεως || καὶ τῶν στρατηγῶν καὶ νομοφυλάκων ἀφ' ἑκατέρας ἀρχῆς | ἕνα καὶ πρυτάνων ἕνα καὶ ταμίαν καὶ τὸν γραμματέα τοῦ | θεοῦ καὶ τὸν προφήτην· ἐὰν δέ τις προγεγραμμένων ἀρρωσ|τῇ εἰ ἐγδημῇ, ἕτερον πεμψάτω· καταγραψάτωσαν δὲ οἱ στρα|τηγοὶ καὶ οἱ νομοφύλακες καὶ ῥαβδοῦχοι ἐκ τῶν πολιτῶν ἄν|δρας τρεῖς, νεωτέρους ἐτῶν τριάκοντα, οἳ καὶ ἐχέτωσαν ἐξου|σίαν κολύειν τὸν ἀκοσμοῦντα· διδόσθω δὲ τῷ ῥαβδούχωι ἐκ τῶν | λογευθησομένων χρημάτων ὀψώνιον ἡμερῶν δύο, τῆς ἡμέρας ἑκάστης δραχμὴ μ[ί]α· ἐὰν δέ τις καταγραφέντων ε[ἰ]δὼς μὴ | παραγένηται, ἀποτεισάτω τῆι πόλει δραχμὰς Ꭾ, παραγραψάν||των αὐτὸν τῶν στρατηγῶν καὶ νομοφυλάκων· ὅταν δὲ παρα|γένωνται οἱ προειρημένοι ἐπὶ τὸ μαντεῖον καὶ τὴν θυσίαν ἐπι|τελέσωσι κατὰ τὰ πάτρια καὶ καλλιερήσωσιν, ὁ γραμματεὺς τοῦ θεοῦ ἀποδεξάσθω ἐ[π'] αὐτῆς τὰς ἀπογραφὰς τῶν βουλομένων χρηστηριασθῆναι καὶ τ[ού]τ[ων] ἀναγράψας τὰ ὀνόματα εἰς λεύκωμα, || παραχρῆμα προθέτω τὸ λεύκωμα πρὸ τοῦ ναοῦ καὶ εἰσαγέτω κατὰ | τὸ ἑξῆς ἑκάστης ἀναγραφῆς ἀνακαλούμενος, εἰ μή τισιν συγ|κεχώρηται πρώτοις εἰσιέναι· ἐὰν δὲ ὁ ἀνακληθεὶς μὴ παρῇ, τὸν | ἐχόμενον εἰσαγέτω, ἕως ἂν παραγένηται ὁ ἀνακληθείς· καθήσθ[ω]||σαν δὲ οἱ προγεγ(ρ)αμμένοι ἐν τῶι ἱερῶι κοσμίως ἐν ἐσθῆσιν λαμ||πραῖς, ἐστεφανωμένοι στεφάνοις δαφνίνοις, ἁγνεύοντες | καὶ νήφοντες καὶ ἀποδεχόμενοι τὰ πινάκια παρὰ τῶν μαν|τευομένων· ὅταν δὲ συντελεσθῇ τὸ μαντεῖον ἐμβαλόν|τες εις ἀγγεῖον κατασφραγισά-

σθωσαν τῆ τε τῶν στρα|τηγῶν καὶ νομοφυλάκων σφραγῖδι, ὁμοίως δὲ καὶ τῆι | τοῦ ἱερέως καὶ ἐάτωσαν μένειν ἐν τῶι ἱερῶι. Ἅμα δὲ τῆι ἡ|μέρᾳ ὁ γραμματεὺς τοῦ θεοῦ προσενέγκας τὸ ἀγγεῖον καὶ ἐ|πιδείξας τοῖς προειρημένοις τὰς σφραγῖδας, ἀνοιξάτω καὶ ἐ κ τῆς ἀναγραφῆς ἀνακαλῶν ἑκάστοις ἀποδιδόσθω τὰ πινάκ|[ια - - - - - - - - - - - - - - - - τοὺ]ς χρησμούς - - -

B. - - - - - οἱ ῥαβδοῦ]|χοι προνοείσθωσαν τῆς εὐκοσμίας· ὅταν δὲ ἡ ἔ[ν]ν[ομος ἐκκλη]σία ἐν τῶι Ἀφροδισιῶνι μηνί, πάντων πρῶτον οἱ ἐξετασταὶ ὁρκιζ[έτω]|σαν ἐναντίον τοῦ δήμου τοὺς προειρημένους ἄνδρας τὸ[ν ὑπογε]||γραμμένον ὅρκον· Ὀμνύω Δία Ἀκραῖον καὶ τὸν Ἀπόλλω[να] | τὸν Κοροπαῖον καὶ τὴν Ἄρτεμιν τὴν Ἰωλκίαν καὶ τοὺς ἄλ[λους] θε|οὺς πάντας καὶ πάσας, ἐπιτετελεκέναι ἕκαστα, καθά[περ] ἐν τῶι ψηφίσματι διασαφεῖται τῶι κεκ[υ]ρωμ[έ]νωι περὶ το[ῦ μαν]τεί|ου ἐφ' ἱερέως Κρίνωνος τοῦ Παρμενίωνος· ἃ ἐὰν ὀμό[σω]σιν, ἔστω σαν ἀθῷοι· ἐὰν δέ τις μὴ ὀμόσηι, ὑπόδικος ἔσ[τ]|ω τοῖς ἐξε[τασ]ταῖς καὶ ἄλλωι τῶι βουλομένῳ τῶν πολιτῶν [ὑπάγει]ν τούτου ἀ|δικήματος· ἐὰν οἱ ἐξετασταὶ δὲ μὴ ποιή|[σωσί]|ν τι τῶν προγεγραμμένων ὑπεύθυνοι ἔστωσαν τοῖς μετ[ὰ τ]αῦτα ἐξετασ|ταῖς καὶ ἄλλωι τῶι βουλομένωι· ἵνα δὲ ἐπιτελῆται διὰ παντὸς | τὰ δεδογμένα διαπαραδιδόναι τόδε τὸ ψή[φ]ισμα τοὺς δέκα | [κα]τ' ἐνιαυτὸν αἱρουμένους στρατηγοὺς κ[αὶ τοὺ]ς νομοφύλακας τοῖ[ς] μετὰ ταῦτα κατασταθησομένοις ἄρχ[ου]σιν, ἀναγραφῆναι δὲ | καὶ τοῦ ψηφίσματος τὸ ἀντίγραφον εἰς [στήλ]ην λιθίνην γενομέ|νης τῆς ἐγδόσεως διὰ τῶν τειχο[ποιῶ]ν, ἣν καὶ ἀνατεθῆναι || ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος τοῦ [Κ]οροπαίου. — |

Ἱερέως Κρίνωνος τοῦ Παρμενίωνο[ς], μηνὸς Ἀρτεμισιῶνος δεκάτηι· Κρίνων Παρμενίωνος Ὁμολιεὺς ὁ ἱερεὺς τοῦ Διὸς τοῦ Ἀκραίου καὶ | Διονυσόδωρος Εὐφραίου Αἰολεὺς ὁ κοινὸς στρατηγὸς καὶ οἱ στρατη|γοὶ καὶ οἱ νομοφύλακες εἶπαν· Ἐπεὶ τὰ ὑπάρχοντα [δ]ένδρα ἐν τῶι ἱε||ρῶι τοῦ Ἀπόλλωνος τοῦ Κο[ρ]οπαίου εἰσὶν κατεφθαρμένα, ὑπολαμ|βάνομεν δὲ ἀναγκαῖ[ον] εἶναι καὶ συμφέρον γενέσθαι τινὰ περὶ τούτων ἐπιστροφήν, [ὥστε κατ]α-σπ[αρ]τηθέντος τοῦ τεμένου ἐ|πιφανεστέραν εἶν[αι τὴν τοῦ τό]που μεγαλομέρειαν, διὸ καὶ δε|δόχθαι τῆι βουλῆι [καὶ τῶι δήμωι· τὸν] καθεσταμένον νεωκορεῖν || ποιεῖν συμφανὲ[ς πᾶσιν τοῖς ἀεὶ π]αραγενομένοις εἰς τὸ (ἱερὸν τὸ) μηθενὶ | ἐξεῖναι τῶν π[ολιτῶν μηδὲ τῶν ἐν]οικούντων μηδὲ τῶν ἐνδη|μούντων ξένων [δένδρα κόπτειν ἐν τῶ]ι διασαφουμένωι τόπωι μηδὲ κολούειν, ὁμοίω[ς δὲ καὶ μὴ εἰσβάλλειν θρέ]μματα νομῆς ἕνεκεν μηδὲ | στά-

σε[ω]ς· εἰ [δέ τις κόπτει, ἀποτίνειν τῆ|ι πόλει δραχμὰς Ͱ, τῶι δὲ προ||σαγγείλα[ντι δίδοσθαι τοῦ εἰσπραχθέ|ντος τὸ ἥμισυ παραχρῆμα παρὰ | τῶν ταμι[ῶν· εἰ δέ τις ἐννέμει, ζημι]οῦσθαι ὑπὸ τῶν στρατηγῶν καὶ νο|μοφυλά|κων τοῦ ἀδικήματος δρα|χμὰς ἑκατόν, τοῦ δὲ θρέμματος ἀποτί|νειν ἑκά[στου .... ἀναγραφῆν]αι δὲ καὶ τὰς προσαγγελίας τούτων πρὸ<ς> τοῦ | διασαφο[υμένου τόπου· ἀν]αγραφῆναι δὲ καὶ τοῦ ψηφίσματος τὸ ἀν||τίγραφ[ον ἐπὶ λιθίνου πυ]λῶνος, ὅ(ν) καὶ προτεθῆναι πρὸ τῆς εἰσόδου | τοῦ ἱε[ροῦ, γενομένης τῆς ἐγδόσ]εως ὑπὸ τῶν τειχοποιῶν, ὅπως πα|[ρα]κ|ολουθῶσιν οἱ ἐμβ|άντες τὰ δεδογμένα· διαπαραδιδόσ[θ|ω [δὲ τὸ ψήφισμα τοῖς] αἱρεθησομένοις μετὰ ταῦτα στρατηγοῖς | [καὶ νομοφύ]λαξιν νομοθεσίας τά[ξ]ιν ἔχον. Ἔδοξεν || τῆι βουλῆι — καὶ τῆι ἐκκλησίαι.

Le marbre porte : *B*, ligne 44, ΤΑΣΙΝ.

843-51. Dodone. Questions faites à l'oracle de Zeus.

Les inscriptions suivantes sont gravées sur de petites lames de plomb découvertes dans les fouilles faites à Dodone par M. Carapanos. Elles ont été déchiffrées et publiées par lui avec l'aide de M. P. Foucart. — Cf. Carapanos, *Dodone et ses ruines*, Paris, 1878, p. 78 s. (trad.), planches xxxiv-xl. — Bursian, *Sitzungsber. der bayer. Akad.*, 1878, p. 9 s. — Roberts, *Journ. of Hell. Stud.*, I (1880), p. 228 s. — Bouché-Leclercq, *Histoire de la Divination dans l'Antiquité*, II, p. 517 s. — Pomtow, *Jahrb. f. Philol.*, 1883, p. 305 s. — Stützle, *Das griech. Orakelwesen*, Ellwangen, 1887 et 1891. — Certaines de ces lamelles portent des inscriptions de chaque côté (*A*, *B*).

843. (Fin du v^e s. av. J.-C.) — Carapanos-Foucart, p. 72, pl. xxxiv, n. 4. — Dittenberger, 67. — Pomtow, p. 308 (n° 2). — Blass, *Samml. Griech. Dial.-Inscr.*, 3209. — Hoffmann, *Ibid.*, 1563. — Le fragment, Carapanos, pl. xxxix, n. 7, ne nous paraît pas appartenir à notre texte.

Θεόν. Τ[ύ|χαν [ἀ]γαθ[ά]ν. | Ἐπ[ι]κοινῶνται τοὶ Κ[ο]ρκυρα[ίοι τῶι Δὶ] | Νάωι καὶ τᾶι Δ[ι]ώναι, τίνι κα [θεῶν ἢ] | ἡρώων θύον[τ]ες καὶ εὐχ[όμενοι] || ὁμονοοῖεν ἐ[π]ὶ τὠγαθόν. —

844. (ii^e s. av. J.-C.) — Carapanos-Foucart, p. 70, pl. xxxiv, 2. — Pomtow, p. 317 (n° 5). — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1590.

Ἐπερωτῶντι τὸ κοινὸν τῶν ... | ων Δία Νᾶον καὶ Διώναν ἦ [αὐ]|τὶ αὐτοῖς συμπολειτεύουσι[ν] | μετὰ Μολοσσῶν ἀσφαλῆ ἦι.

845. (iv^e s. av. J.-C.) — Carapanos-Foucart, p. 71, pl. xxxiv, 3. — Cauer, 250. — Pomtow, p. 320 (n° 8). — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1582. — Cf. S. Reinach, *Traité d'Épigr. gr.*, p. 115.

A. Θεοί. Τύχαν ἀγαθάν. Ἐπικοινῆται Εὔβαν δρος καὶ ἁ γυνὰ τῶι Διεὶ τῶι Νάωι καὶ τᾶι Δι ώναι· τίνι κα φεῶν ἢ ἡρώων ἢ δαιμό-

νων ¦ εὐχόμενοι καὶ φύοντες λῷιον καὶ ἄμεινο¦ν πράσσοιεν καὶ αὐτοὶ καὶ ἁ οἴκησις καὶ νῦν | καὶ ἰς τὸν ἅπαντα χρόνον.

B. Εὔαν(δρος).

846. (IIIᵉ s. av. J.-C.) — Carapanos-Foucart, p. 77, pl. xxxvii, 1. — Cauer, 257. — Dittenberger, 428. — Pomtow, p. 329 (nº 19). — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1573. — Cf. Blass, *Rhein. Mus.*, XXXIV (1879), p. 160.

Ἦ αὐτὸς πεπαμένος τὰν ἐ(μ) πόλι οἰκίαν καὶ τὸ χωρί|ον βέλτιόμ μοί κ' εἴη καὶ πολυωφελέ(σ)τε(ρ)ον.

847. (IIIᵉ s. av. J.-C.) — Carapanos, *Rev. Archéol.*, 1883, II, p. 354 s. — Gomperz, *Berl. Philol. Wochenschr.*, 1884, p. 129. — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1587. — Carapanos, *Bull. de Corr. Hell.*, XIV (1890), p. 156. — La plaque porte au revers (*B*) la réponse de l'oracle.

A. Θεό[ς. Τύ¦χα ἀγα¦θά. [Ἐ¦ρ|ω]τεῖ Ἀντίο¦χος τ|ὸ]ν Δί(α) καὶ τὰν ¦ Διώναν ὑπὲρ ὑγι¦είας [α]ὐτοῦ καὶ πα¦τρὸς καὶ ἀδελφ|ᾶς· τ[ί]να θεῶν | ἢ ἡρ[ώω]ν τιμᾶν|τι λ[ῷ]ιον καὶ ἄ[|μεινον εἴη.

B. Εἰς Ἑρμι|όνα | ὁρμά¦σα|<α>ντι.

848. (IIIᵉ s. [?] av. J.-C.) — Carapanos-Foucart, p. 80, pl. xxxviii, 1. — Pomtow, p. 326 (nº 15). — Cauer, 252. — Fick, *Samml. Griech. Dial.-Inschr.*, 1333. — Hoffmann, *Ibid.*, 1559.

A· Ἐρουτᾶι Κλεούτα[ς] τὸν Δία καὶ τὰν | Διώναν αἴ ἐστι αὐτôι προβατεύοντι | ὄναιον καὶ ὠφέλιμον.

B. Πὲρ προβα|τείας.

A, ligne 1, le fac-simile porte ΚΛΕΟΥΤΑΙ.

849. (IIIᵉ s. [?] av. J.-C.) — Carapanos-Foucart, p. 78, pl. xxxvii, 4. — Dittenberger, 430. — Pomtow, p. 327 (nº 17). — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1568.

Τύχα ἀγαθά. Ἦ τυγχάνοιμί κα ἐμπορευόμενος | ὅπυς κα δοκῆι σύμφορον ἔμειν καὶ ἄγων τῆι κα δοκῆι ἅμα τᾶι τέχναι χρεύμενος.

850. (IIᵉ s. av. J.-C.) — Carapanos-Foucart, p. 75, pl. xxxvi, 2. — Dittenberger, 429. — Pomtow, p. 323 (nº 11). — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1565.

Ἐρωτῇ Λυσα|νίας Δία Νᾶιον | καὶ Δηώναν, ἦ οὐ|κ ἔστι ἐξ αὐτοῦ || τὸ παιδάριον | ὃ Ἀννύλα κύει.

851. (IIᵉ s. av. J.-C.) — Carapanos-Foucart, p. 75, pl. xxxvi, 1. — Pomtow, p. 324 (nº 12). — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1586.

A. Ἐρωτεῖ Ἆγις Δία Νᾶον [καὶ Διώναν] | ὑπὲρ τῶν στρωμάτων κ αὶ τῶν προσ|κεφαλαίων, τὰ ἀπώλολ|ε - - -| | ἢ τῶν ἔξωθέν τις ἂν ἔκ[λεψεν - -

B. Ἆγ[ις.

852. Délos. **Oracle d'Apollon Pythien aux Cyzicéniens.**

(Fin du IIIe s. av. J.-C.)

Deux fragments (*A*, *B*) d'une stèle de marbre, trouvés à Délos. — Homolle, *Bull. de Corr. Hell.*, IV (1880), p. 472 s.

A. Κυ[ζικηνῶν]· | Ὁ θεὸς ἔχ[ρησεν ὅτι τὰς θυσίας] | ἐπιτετελέκα[τε τὰς πατρίας] τὰ σωτήρια πράτ[τοντες Κόραι] || τᾶι Σωτείραι καλῶς [καὶ εὐσεβ]ῶς καὶ εὐτυχῶς, λῶιον [εἶμεν] καὶ ἄμεινον ἐπαγγελλό[ντεσ]|σιν ἐς ἀνθρώπους ἱερὰν τὰν π[ό]|λιν οὖσαν κατὰ τοὺς χρησμοὺς || καὶ τὰν θυσίαν τᾶς θεᾶς. — |

Ἔδοξεν τῆι βουλῆι καὶ τῶι δήμωι. Χαρία[ς] | Χαριστίου εἶπεν· Ἐπειδὴ Κυζικηνοὶ φίλ[οι] ὄντες τοῦ δήμου τοῦ Δηλίων [ἀπέσταλκαν | μὲ]ν ἀρχιθέωρον [- - - - - - - - - -] || κ]α[ὶ θεωροὺς - - - - -]

B. --- κομίζοντας ψήφισμα | ἐν ὧι ἀξιοῦσι Δηλίους, φίλους ὄντας τῆς | πόλεως αὐτῶν ἀποδεῖξαι τόπον ἐν τῶι | ἱερῶι τοῦ Ἀπόλλωνος, ἐν ὧι σταθήσεται || ἡ στήλη εἰς ἣν ἀναγραφήσεται ὁ δεδομέ|νος χρησμὸς Κυζικηνοῖς ὑπὸ τοῦ Πυθίου Ἀπ[όλ]|λωνος καθ[ό]τι καὶ ἐν τῶι ἱερῶι τῶι ἐν Δελ[φοῖς] | ἀναγέγραπται, περὶ αὐτῶν δὲ τούτων [διε|λέ]γησαν ἀκολούθως ὅ τε ἀρχιθέωρος [καὶ οἱ] || θεωροί· δεδόχθαι τῆι βουλῆι καὶ τῶι δήμ[ωι· ἐπι]|μεληθῆναι τοὺς ἱεροποιοὺς μετὰ τῆ[ς βου]λ|ῆς ὅπως δο[θῆ]ι τόπος ἐν ὧι σταθήσε[ται ἡ] | στήλη ἐν τόπωι ὡς ἐπιφανεστάτ[ωι, καθὼς ἀ]|ξιοῦσι Κυζικηνοὶ ὅπως ἔχει καλ[ῶς καὶ εὐ]σεβῶς τῶι δήμωι τῶι Δηλίων [τὰ πρός τε] | τοὺς θεοὺς καὶ τὸν δῆμον τὸν [Κυζικηνῶν]· | ἐπαινέσαι δὲ τοὺς θεωροὺς κ[αὶ καλέσαι ἐπὶ] | ξένια εἰς τὸ πρυτανεῖον [εἰς αὔριον]· | τὸ δὲ ἀνάλωμα δοῦ[ναι τὸν ταμίαν - - - - - - -] || ομο - - -

853. Anaphé. **Oracle relatif à un temple d'Aphrodite.**

(Fin du IIe s. av. J.-C.)

Stèle de marbre blanc brisée en haut. Trouvée à Anaphé, actuellement à Athènes. — Ross, *Archæolog. Aufsætze*, II, p. 495 s. — C.I.G., 2477 (cf. II, p. 1091 s.). — Rangabé, *Ant. Hell.*, 820. — Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 3430. — I.G.Ins., III, 248.

--- κα]|θότι καὶ ὁ θεὸς ἔ[χρη]σε[ν· τᾶς] δ' ἐπερωτάσ[ε]|ως καὶ τοῦ χρησμοῦ ἀντίγραφά ἐστι τάδε· |

Ἔδοξε τᾶι βουλᾶι καὶ τῶι δάμωι· ἀρχόντων Ξενο|μνάστου, Ἀριστομάχου, Σωσικλεῦς καὶ βουλᾶς γνώμα· || ὑπὲρ τᾶς ἐφόδου ἇς ἐποιήσατο Τιμ[ό]θεος Σωσικ[λ]εῦς, κατὰ δὲ ὑοθεσίαν Ἰσοπόλιος· ἀξίως αὐτῶι δοθῆ[μεν ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος τοῦ Ἀσγελάτα τό[πον, ὥσ[τε ναὸ]ν Ἀφροδίτας οἰκοδομῆσαι ὕλαι

καὶ λί|θοις καὶ [χ]οῖ χρώμενος ἐκ τοῦ ἱεροῦ ὧν κα χρείαν ἔχηι || ἐν τῶι τόπωι, ἐν τᾶι αἱμασιᾷ, ὀπεῖ ἁ ἐλαία ἁ ποτὶ τὸν | Εὐδώρειον οἶκον καὶ τὸν Μειδίλειον· τὸν δὲ τόπον, | [ὀ]πεῖ ὁ βωμὸς τοῦ Κτησίου καὶ τὸν ξοάνιον· τὸν τοῖχον | λύσαντα τὰν πάροδον ποιῆσαι ἐς τὸν ναὸν | ταύται, καὶ οἰκοδομηθέντος τοῦ τοίχου, τὸν βωμὸν || καὶ τὸ ξοάνιον καταστᾶσαι πάλιν ἐς τὸν τοῖ|χον· τὰς δὲ στάλας τὰς οὔσας ἐν τῶι τοίχωι | καὶ τὸν ἀπόρανθρον, ὅσας μέν κα δυνατὸν ἦι, | αὐτεῖ καταστᾶσαι· ὅσαις δέ [κα] μὴ ἦι τόπος, ὀπεῖ κα | δοκῆι χρήσιμον ἦμεν. Συντελεσθέντος δὲ || τοῦ ναοῦ ἦμεν δαμόσιον καθὰ καὶ ὁ θεὸς ἔχρησε. | Τᾶς δὲ ἐπερωτάσιος καὶ τοῦ χρησμοῦ ἀντίγροφόν | ἐστιν τὰ ὑπογεγραμμένα.— |

Ἐπερωτᾶι Τιμόθεος [τὸ]ν θεόν, πότερον | αὐτῶι λῶιον καὶ ἄμει[νό]ν ἐστιν αἰτήσασθαι || τὰν πόλιν ἐν τῶι ἐπινοεῖ τόπωι ἐν τῶι τοῦ | Ἀπόλλωνος τοῦ Ἀσγελάτα, ὥστε ναὸν τᾶς | Ἀφροδίτας οἰκοδ[ο]μῆσαι καὶ ἦμεν δαμόσιον, | ἢ ἐν τῶι ἱερῶι τοῦ Ἀ[σκλ]απιοῦ ἐν ὧι ἐπινοεῖ | τόπωι. Ὁ θεὸς ἔχρησε αἰτήσασθ[α]ι ἐν τῶι τ[οῦ] || Ἀπόλλωνος. Τελεσθέντος δὲ τοῦ ναοῦ ἀνα|γραφῆμεν τό τε ψάφισμα καὶ τὸν χρησμὸν | καὶ τὰν ἔφοδον ἐστάλαν λιθίναν. Περὶ δὴ | τούτων δεδόχθαι τᾶι βουλᾶι· δεδόσθαι αὐτῶι καθάπερ αἰτεῖται, εἴ κα [δό]ξηι || τᾶι ἐκκλησίαι.—

854. Halicarnasse. **Donation et fondation faites en vertu d'un oracle.** (Fin du iii^e s. av. J.-C.)

Stèle de marbre bleuâtre brisée en plusieurs morceaux. Trouvée à Halicarnasse, actuellement au British Museum. — Hirschfeld, *Greek Inscr. in the Br. Mus.*, 896.—Paton et Myres, *Journ. of Hell. Stud.*, XVI (1896), p. 234. — Dareste, Haussoullier et Reinach, *Inscr. Jurid. Grecques*, n° xxv (II, p. 128 s.). — Cf. Ziebarth, *Das Griech. Vereinswesen*, p. 10 s.

Ἀπο[στ]είλαντος Πο[σ]ειδ[ω]νίου χρ[ησα[μέν]ου | τῶι Ἀπόλλωνι, τί ἂν αὐτῶι τε καὶ τοῖς ἐξ αὐτοῦ | γινομένοις καὶ οὖσιν, ἔκ τε τῶν ἀρσένων καὶ τῶν θ|ηλείων, εἴη λῶιον καὶ ἄμεινον ποιοῦσιν καὶ πράσ σουσιν, ἔχρησεν ὁ θεὸς ἔσεσθαι λῶιον καὶ ἄμει|νον αὐτοῖς ἱλασκομένοις καὶ τιμῶσιν, καθάπερ καὶ οἱ πρόγονοι, Δία Πατρῶιον καὶ Ἀπόλλωνα Τελε μεσσοῦ μεδέοντα καὶ Μοίρας καὶ Θεῶν Μητέρα· τιμᾶν δὲ καὶ ἱλάσκεσθαι καὶ Ἀγαθὸν Δαίμονα Ποσει δωνίου καὶ Γοργίδος, τοῖς δὲ ταῦτα διαφυλάσσουσιν | καὶ ποιοῦσιν ἄμεινον ἔσεσθαι. — |

Ποσειδώνιος Ἰατροκλέους ὑπέθηκεν τοῖς ἐξ ἑαυτοῦ | καὶ τοῖς ἐκ τούτων γινομένοις ἔκ τε τῶν ἀρσένων | καὶ τῶν θηλείων, καὶ τοῖς λαμβάνουσιν ἐξ αὐτῶν [ει]ς θυσίαν οἷς ὁ θεὸς ἔχρησεν ἀγρὸν τὸν ἐν Ἀστυ|[πα]λαίαι τὸν ὁμορροῦντα Ἄνθει καὶ Δαμα-

γήτωι, | [κ]αὶ τὴν αὐλὴν καὶ τὸν κῆπον καὶ τὰ περὶ τὸ μνημεῖον | [κ]αὶ τοῦ ἐν Ταράμπτωι ἐνηροσίου τὸ ἥμισυ· καρπευ|[έ]τω δὲ καὶ ἱερατευέτω τῶν ἐκγόνων τῶν ἐκ Ποσει|δωνίου ὁ πρεσβύτατος ὢν ἀεὶ κατ' ἀνδρογένειαν, | ἀποδιδοὺς κατ' ἐνιαυτὸν χρυσοῦς τέσσαρας ἀτελέ|ας. — Ἔδοξεν Ποσειδωνίωι καὶ τοῖς ἐκγόνοις τοῖ|ς ἐκ Ποσειδωνίου καὶ τοῖς εἰληφόσιν ἐξ αὐτῶν, αἱρεῖ|σθαι ἐπιμηνίους ἐξ ἑαυτῶν τρεῖς κατ' ἐνιαυτό[ν], οἵτινες ἀπολαμβάνοντες τῆς ὑποθήκης π[αρ]ὰ [τοῦ ἱ]|ερέως ἑκάστου ἐνιαυτοῦ μηνὸς Ἐλευθερίου [χ]ρυσ[οῦς] τέσσ[α]ρας συντελέσουσιν τὰς θυσίας· ἂν δ[ὲ] μὴ ἀπο|δίδωι, ἢ μὴ θέλῃ καρπεύειν, εἶναι τὰ ὑποκείμενα κ[οι]νά, καὶ τοὺς | ἐπι[μ]ηνίους ἐγδιδόναι, τὸ δὲ τέμενος εἶναι [κοι]νὸν [κ]αὶ τ[οὺς ἐ]πιμηνίους ἐγμισθοῦν, καὶ τὸ μίσθωμα καὶ τὸ ἐνη|[ρό]σιον κομιζόμενοι — μηνὸς Ἑρμαιῶνος ἐπιμελεί|τωσαν ἐπὶ δύο ἡμέρας, τῶι ἱερεῖ τὰ νομιζόμε[να] παρέχοντες εις τὰς θυσίας πάντα, τῆι μὲν π[ρ]ώτηι | θύειν Τύχηι Ἀγαθῆι πατρὸς καὶ μητρὸς Ποσε[ιδω]νίου | [κ]ριὸν καὶ Δαίμονι Ἀγαθῶι Ποσειδωνίου καὶ [Γο]ργίδος | κριόν, τῆι δὲ δευτέραι Διὶ Πατρώιωι κριὸν καὶ Ἀπόλλωνι | Τελεμεσσοῦ μεδέοντι κρ[ιὸν] καὶ Μοίραις κριὸν | καὶ Θεῶν Μητρὶ αἶγα. Ὁ δὲ ἱε[ρε]ὺς λαμβανέτω ἑκάστου | ἱερείου κωλῆν καὶ τεταρτη[με]ρίδα σπλάγχνων, || καὶ τῶν ἄλλων ἰσόμοιρος ἔ[στω]· τὰ δὲ λοιπὰ κρέα οἱ | ἐπιμήνιοι, ἀφελόντες ἱκανὰ τοῖς δειπνοῦσιν καὶ | γυναιξίν, μερίδας ποιησάντωσαν ἴσας καὶ ἀποδόντω|σαν ἑκάστωι μερίδα τῶν τε παρόντων καὶ τῶν ἀπόντων, | τὰς δὲ κεφαλὰς καὶ τοὺς πόδας αὐτοὶ ἐχόντων, τὰ δὲ κώιδια πωλούντων ἐν τῶι θιάσωι καὶ τῆι δευτέραι | λόγον ἀποδόντωσαν πρὸ τοῦ δήμου ἀνα|γράψαντες εἰς ὃ ἕκαστον ἀνήλωται, καὶ τὸ | περιγινόμενον ἀναλίσκειν εἰς ἀναθήματ[α]. | Ἀναγράψαι δὲ καὶ τὸν χρησμὸν καὶ τὴν ὑποθήκην | κ[α]ὶ τὸ δόγμα ἐν στήλῃ λιθίνῃ καὶ στῆσαι ἐν τῶι | τεμέν[ει]. Τοῖς δὲ ταῦτα διαφυλάσσουσιν καὶ ποιοῦ|σιν ἄμεινον γένοιτο ὑπὸ θεὸν καὶ ἄνθρωπον.

Le marbre porte, ligne 46, ΑΠΟΛΟΝΤΩΣΑΝ.

855. Magnésie du Méandre. **Oracles de Delphes relatifs à la fondation de la ville.**

Stèle de marbre blanc, incomplète en haut et en bas. Trouvée à Magnésie, actuellement au musée de Berlin. — O. Kern, *Die Gründungsgeschichte von Magnesia am Maiandros*, Berlin, 1894, p. 7 s. — Sakolowski, *Mythographi Graeci*, vol. II, 1, p. XXI s. — Cf. Wilamowitz, *Hermes*, XXX (1895), p. 176 s. — Judeich, *Gœtt. Gel. Anz.*, 1896, p. 316 s. — Le texte a été gravé vers 200 av. J.-C.

------------ χεῖρας [ἐ]ξήγαγο[ν ---------|--------- σημ]εῖον τῆς γενομένη[ς ---------|--------- πα]ρὰ πάν-

των κατὰ κοινὸ[ν - - - - - - -|- - - - - - - - - - ψ]ηφι[σ]μάτων. Μέχρι μὲν [οὖν χρόνου τινὸς | σ]υν[τ]ελεσθέντων ταχέως ὧν ἕνεκεν ἦλ[θον, περιέμενον] | τὸ ῥηθὲν ὑπ[ὸ] τοῦ θεοῦ σημεῖον πρὸς τὴν ἀ[ναχώρησιν· ἐπεὶ] | δὲ ἐλά[μ]βανε χρόνον, πόλιν ἀνὰ μέσον π[λησίον Γόρτυ]|νος καὶ Φαιστοῦ [κα]τῴκουσαν εὐδαιμο[νοῦντες κτησά]|μενοι τέκνα καὶ γυναῖκα[ς]· ἐνεφυσίωσάν τε κ[αὶ τοῖς γινομέ]|νοις ἐξ ἑαυτῶν τὴμ βούλησιν τοῦ θεοῦ τὴν κατὰ [τὸν χρησμόν]· | ὡς δὲ περὶ ὀγδοιήκονθ' ἔτη μετὰ τὴν ἄφιξιν ἐφά[νησαν οἱ λευκοὶ] | κόρακες, εὐθέως ἅμα θυσίαις χαριστηρίοις πέμ[πονται εἰς Δελ]|φοὺς ἐρωτήσοντες περὶ τῆς εἰς τὴν ἰδί[αν] ἐπανόδο[υ ἱερωμένης] | ἐν Ἄργει Θεμιστοῦς, προάρχοντος ἐν [Δελ]φοῖς τὴν ἐν [- - - -] | Ξενύλλου. Πάλιν δὲ παρὰ τὴμ βούλησιν αὐτῶν χ[ρ]ηστηριάζε[ται]· |

Ἤλθετε Μάγνητες Κρήτης ἄπο νόσφι τραπέν[τες]
οἰωνὸμ πτερύγεσσι σὺν ἀργεννῇσιν ἰδόντες
[ἐ]γ μέλανος, καὶ θαῦμα καταθνητοῖσιν ἐφάνθη,
[κ]αὶ δίζησθε, πάτρην εἰ λώιόν ἐστιν ἱκέσθαι.
Ἀλλὰ χρεὼγ γαίης ἄπ[ο π]ατρίδος ἄλλοθι νεῖσθα[ι]·
πατρὶ δ' ἐμῶι [καὶ] συγγόνωι ὧδε μ[ελ]ήσει
μή τι χερειοτέραμ β - - ο Μάγνητα δάσασθαι
[χ]ώρας ἧς Πηνειὸς ἔχει κα[ὶ] Πήλιον α[ἰ]πύ.

Ἀπογνόντες οὖν διὰ τὸν χρησμὸν [τ]ὴν εἰς οἶκον ἐπάνοδον καὶ | σπεύδο[ν]τες ἑαυτοῖς ἐπιτελεσθῆναι τὴν ἐπαγγελίαν τοῦ | θεοῦ πά[λ]ιν ἐπηρώτ[η]σαμ πέμψαντες ὅπ[ο]υ στέλλοιεν | καὶ πῶς· ὁ δὲ θεὸς ἔχρησεν· — |

Εὕρεσθ' ὦ Μάγνητες ἀμύμονες ἔνθα νέησθε·
ὔμμι δὲ ἀνὴρ ἕστηκε πάρος νηοῖο θυράων
[ὅ]ς γ' ὑμῖν ἄρξαιτο καὶ ἡ[γ]ήσαιτο κελεύθου
[Π]αμ[φ]ύλων ἐπ' ἄρουραν ὑπὲρ Μυκάλης ὄρος αἰπ[ύ].
Ἔνθα δὲ Μανδρολύτου δόμος ὄλβιος ἐμ περιωπῆ[ι]
πολλοῖσιν κτεάνοισι πολυστρεφέος ποταμοῖο·
Ἔνθα δὲ ἀμυνομένοισι καὶ οὐκ ἄρχουσι δόλοιο
νίκηγ καὶ μέγα κῦδος Ὀλύμπιος ἐγγυαλίξει.

Ἐπερωτησάντων δὲ τίς ὁ ἀνὴρ οὗτός ἐστιν ὁ καθηγησό|μενος ἡμῖν καὶ πόθεν, ὁ θεὸς ἔχρησεν· — |

Ἔστι τις ἐν τεμένει Γλαύκου γένος ἄ[λ]κιμος ἀνήρ
ὅς γ' ὑμῖν πρώτιστ[α] ἐπιέξεται ἀ[ν]τιβολήσας
νηὸν ἐμὸμ προλιποῦσι· τὸ γὰ[ρ] πεπρωμένον ἐστίν.
Οὗτος καὶ δείξει χέρσου πολύπυρον ἄρουραν.

Συναντησάντων δὲ κατὰ τὸ ῥηθὲν καὶ τὴ[ν] συγγένεια[ν] | πρὸς τὸν [Λ]εύκιππον ἀνανεωσαμένων, ἐπιδειξάντων | τοὺς χρησμοὺς [ἄ]σμενος ὑπήκουσεν ὁ Λεύκιππος, ὅμως μ[έν] τοινε καὶ αὐτὸς ἐπ[η]ρ[ώτ]η[σ]ε κατ' ἰδίαν τὸν θεόν, τῶι δ' ἔχρησεν· |

Στέλλ' ἐπὶ Παμφύ[λ]ωγ κό[λ]πον, Λεύκιππε, φέροπλον
λαὸν ἄ[γ]ωμ Μάγνητα ὁμοσύγγονον, ὡς ἂν ἵκειαι
Θ[ώρη]κος σκόπελον κ[αὶ] Ἀμανθίου αἰπὺ ῥέεθρον
καὶ [Μ]υκάλης ὄρος αἰπὺ ἀπεναντ[ί]ον Ἐνδυμίων[ος].
Ἔνθα δὲ Μ[α]νδρολύτου δόμον ὄλβιοι οἰκήσο[υσιν
Μ]άγνητ[ε]ς πολ[ίεσσιν π]ερικτιόνεσσιν ἀγητ[οί.

Le marbre porte, ligne 25, ΣΠΕΥΔΟΥΤΕΣ; ligne 26, ΠΑΠΙΝΕΠΗΡΩΤΩΣΑΜ; ligne 30, ΗΣΗΣΑΙΤΟ; ligne 38, ΑΑΚΙΜΟΣ; ligne 39, ΠΡΩΤΙΣΤΕ; ligne 44, ΔΕΥΚΙΠΠΟΣ.

856. Magnésie du Méandre. **Oracle d'Apollon Pythien au sujet d'un prodige.** (ive s. [?] av. J.-C.)

Plaque de marbre quadrangulaire posée sur une base, trouvée à Magnésie du Méandre. — S. Reinach, *Rev. des Ét. Grecques*, III (1890), p. 350 s. (trad.) — Contoléon, *Athen. Mitth.*, XV (1890), p. 330 s. — Maass, *Hermes*, XXVI (1891) p. 182 s. — Cf. P. W[olters], *Athen. Mitth.*, XVI (1891), p. 248 s. — S. Reinach, *Chron. d'Orient*, II, p. 475 s. — La base porte une inscription que nous reproduisons ci-dessous (*B*). — Le texte est une copie faite au ier s. av. J.-C. d'une inscription plus ancienne de deux ou trois siècles probablement.

A. Ἀγαθῇ τύχῃ. Ἐπὶ πρυτάνεως Ἀκροδήμου τοῦ Δι|οτείμου ὁ δῆμος ὁ Μαγνήτων ἐπερω τᾷ τὸν θεὸν περὶ τοῦ σημείου τοῦ | γεγονότος, ὅτι πλατάνου κατὰ τὴν | πόλιν κλασθείσης ὑπὸ ἀνέμου εὑ|ρέθη ἐν αὐτῇ ἀφείδρυμα Διονύσου, | τί αὐτῷ σημαίνει· ἢ τί ἂν ποιήσας | ἀδεῶς διατελοῖ ἥδιον. Θεοπρόποι || ἐπέμφθησαν ἰς Δέλφους <ε> Ἑρμῶνα[ξ] | Ἐπικράτους, Ἀρίσταρχος Διοδώρου. | — Θεὸς ἔχρησεν· — |

Μαιάνδροιο λαχόντες ἐφ' ὕδασιν | ἱερὸν ἄστυ,
Μαγνῆτες κτεάνοις || ἐπαμύντορες ἡμετέροισιν, |
ἤλθετε πευσόμενοι στομάτων ἀπ' ἐ|μεῖο, τίς ὑμεῖν
μῦθος, ἐπεὶ Βάκ|χος θάμνῳ ἐνὶ κείμενος ὤφθη. |
Ἐξεφάνη δὲ ἔτι κοῦρος, ἐπεὶ πτολ[ί]||αιθρα τιθέντες
νηοὺς οὐκ ᾠκίσ|σατ' ἐϋτμήτου(ς) Διονύσῳ.
Ἀλλὰ | καὶ ὥς, ὦ δῆμε μεγασθενές, ἵδρυε | νηοὺς
θυρσοχαροῦς, ἱερῆα τίθει | δὲ εὐάρτιον, ἁγνόν,
ἔλθετε δὲ || ἐς Θήβης ἱερὸν πέδον, ὄφρα λάβητε |
Μαινάδας, αἳ γενεῆς Εἰνοῦς ἀπὸ Κα|δμηείης·

αἵδ' ὑμεῖν δώσουσι καὶ | ὄργια καὶ νόμιμ[α ἐσθ]λὰ
καὶ θιά|σους Βάκχοιο καθειδρύσουσιν || ἐν ἄστει.

Κατὰ τὸν χρησμὸν διὰ | τῶν θεοπρόπων ἐδόθησαν ἐκ Θηβῶν | Μαινάδες τρεῖς Κοσκώ, Βαυβώ|, Θετταλή. Καὶ ἡ μὲν Κοσκὼ συνήγαγεν | θίασον τῶν Πλατανιστηνῶν, | ἡ δὲ Βαυβὼ τὸν πρὸ πόλεως, ἡ δὲ | Θετταλὴ τὸν τῶν Καταιβατῶν. | Θανοῦσαι δὲ αὗται ἐτάφησαν | ὑπὸ Μαγνήτων, καὶ ἡ μὲν Κοσκὼ | κεῖται ἐν Κοσκωβούνῳ, ἡ δὲ Βαυ||βὼ ἐν Ταβάρνει, ἡ δὲ Θετταλὴ | πρὸς τῷ θεάτρῳ.

B. Θεῷ Διονύσῳ | Ἀπολλώνιος Μοκόλλης | ἀρχαῖος μύστης ἀρχαῖον | χρησμὸν ἐ[πὶ σ]τήλης ἀναγράψας σὺν τῷ βωμῷ [ἀν]έθ[η]|κεν. —

Le marbre porte, *A*, l. 10, ΕΕΡΜΩΝΑΣ. — La fin de chaque vers est indiquée par un petit trait horizontal.

LISTES DE PRÊTRES ET DE THÉORES

---

857. Athènes. Liste de fonctionnaires religieux. (Fin du iv^e s. av. J.-C.)

Plaque de marbre pentélique brisée en deux morceaux, incomplète à droite. Trouvée sur l'Acropole. — Rangabé, *Ant. Hell.*, 1251. — Kœhler, *Hermes*, VI (1871), p. 106. — C.I.A., II, 948. — Cf. Foucart, *Bull. de Corr. Hell.*, VII (1883), p. 387 s. — Tœpffer, *Attische Genealogie*, p. 50 s. — Les inscriptions C.I.A., II, 949 et 950 permettent de restituer à coup sûr les premières lignes. — Nous avons revu le texte sur un estampage que nous devons à l'obligeance de M. Ad. Wilhelm.

Τούσδε ἐπιώψ[ατο] ὁ ἱεροφάντης [τὴν κλίνην στρῶ]|σαι τῶι Πλούτων[ι] καὶ τὴν τράπ[εζαν κοσμῆσαι] | κατὰ τὴν μα[ν]τείαν τοῦ [θεοῦ]· — | Κριτόδημον [Ἐ]νδίου Λαμπτ[ρέα], | Ἐπικράτην [Πε]ισιάνακτος ---, | Θράσυλλον Θρασύλλου [Δεκελεέα], | Ἀντιγένης Ξε[ν]οκλέους Ὀῆ[θεν], | Πύρρος Πυθοδώρου [Ἀ]χερ|δ[ούσιος], | Βούλαρχος [Β]ουλάρ[χ]ου Φ[λυεύς], || Ἀπολλόδωρον Ἀπολλοδώ[ρου ---], | Ἐτεοκλῆς Χρεμωνίδο[υ Αἰθαλίδης], | Φιλότιμος [Ἀ]κεσστοθέμι[δος ---, | Ἀ]ριστ -- Ἀριστοδήμο[υ ---]. | —

858. Athènes. Liste d'hiéropes. (160/59 av. J.-C.)

Fragments d'un bloc de marbre de l'Hymette, trouvés sur l'Acropole. — Ross, *Demen von Attica*, p. 40. — Rangabé, *Ant. Hell.*, 1245. — C.I.A., II, 954.

Ἐπὶ Καλ[λιστρά]του ἄρχοντος· οἵδε | ἱεροποίησ[α]ν τὰ Ἀθήναια· | Ἐξάκεστο[ς] Λακιάδης | Εὔανδρος [Σ]ουνιεύς || Τιμόθεος [Ἁ]γνούσιος | Ἐπικράτη[ς Σο]υνιεύς | Τηλεφάνη[ς Ἀλ]ω[π]εκῆθεν | Μείδων Χο[λαργ]εύς | Ἅβρων Βα[τῆθ]εν || Ἡρακλείδ[ης Μυ]ρρινούσιος | Θεόφραστ[ος Ἁγ]νούσιος | Ἱέρων Διο[μεεύ]ς | [Ε]ὔνομος Κ-ινος | [Ἀρισ]τομέν[ης --]ρνασσεύς || ---

859. Athènes. **Catalogue de théores.** (2e moitié du IIe s. av. J.-C.)

Bloc de marbre de l'Hymette brisé en haut. Trouvé près du Dipylon. — Koumanoudis, Ἀθήναιον, I (1872), p. 401 s. — C.I.A., II, 955.

----δης ---- Ἰφισ[τιάδης, | Νικο]κράτης Ν[ικ]οστράτου Παιονίδ[ης, | Ἀ]πολλωνίδης Ἀπολλωνίου Ὑβάδης, | [Μητ]ρόδωρος Ἑρμώνακτος Ἕρμειος, | [Νικά]νωρ Ἑρμίππου Ἀφιδναῖος, | [Ἀπο]λλώνιος Ἀπολλωνίου Ἀγκυλῆθεν, | Σώστρατος Λακρατείδου Ἰ[κ]αριεύς, | [Ἕ]ρμιππος Ἀπολλωνίου Ξυπεταιών, | [Ἀ]πολλώνιος Ἀπολλωνίου Ξυπεταιώ[ν], | Τιμαγένης Τιμαγένου Ἀχαρνεύς, | Φιλιστίδης Σωσιγένου Ἀφιδναῖος, | Διονυσόδωρος Ἀπολλωνίου Κριωεύ[ς]. | — Ἀρχεθέωρος κατὰ τὰ πάτρια· | Ἀγαθοκλῆς Ἀγαθοκλέους Αἰξωνεύς. | — Ἑστιάτωρ κατὰ τὰ πάτρια· | Τεισάνωρ Ἡρακλείδου Ἰφιστιάδ[ης.

Couronne. Couronne.

860. Athènes. **Sièges des prêtres au théâtre de Dionysos.** (IIe s. av. J.-C. — IIe s. ap. J.-C.)

Ces inscriptions sont gravées sur les sièges de marbre encore actuellement en place dans le théâtre de Dionysos à Athènes. — Pervanoglu, *Bullet. dell' Inst. arch.*, 1862, p. 113 s. — Vischer, *Kleine Schriften*, II, p. 324 s. — C.I.A., III, 240-298. — Cf. Martha, *Sacerdoces Athéniens*, p. 12 s. — Wheeler, *Papers of the American School at Athens*, I, p. 154 s. — Haigh, *Attic Theater*, p. 117 s. — J. Harrison, *Mythology and Monuments of ancient Athens*, p. 274 s. — Navarre, *Dionysos*, p. 295 s. — Nous avons suivi l'ordre adopté par M. Dittenberger dans le C.I.A., en commençant par les sièges occupant le centre du théâtre (1-11), puis ceux de gauche (12-27) et ceux de droite (28-59). Une notable partie de ces inscriptions date de l'Empire romain.

956. Lébadée [Béotie]. (2e moitié du iiie s. av. J.-C.) — Trouvé à Lébadée. — C.I.G., 1588. — Lebas-Foucart, 731. — Cauer, 324. — Larfeld, *Syll. Inscr. Boeot.*, 66. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 414. — C.I.G.S., I, 3087. — Cf. Preuss, *Quaestiones Boeoticae*, 1879, p. 27 s.

Τοὶ ἱππότη Λεβαδειήων ἀνέθιαν Τρεφωνίοι, | νικάσαντες ἱππασίη Παμβοιώτια· ἱππαρχίοντος | Δεξίππω Σαυκρατείω· Ϝιλαρχιόντων Μύτωνος | Θρασωνίω, Ἐπιτίμω Σαυκρατείω.

957. Orchomène [Béotie]. (iiie s. av. J.-C.) — Marbre encastré dans le mur extérieur d'un monastère. — C.I.G., 1579. — Lebas-Foucart, 617. — Larfeld, *Syll. Inscr. Boeot.*, 24. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 477. — Cauer, 290. — Brinck, *op. cit.*, 85. — C.I.G.S., I, 3210. — Cf. Preuss, *Quaestiones Boeoticae*, p. 33. — Reisch, *op. cit.*, p. 109.

Μύριχος Πολυκράτιος, Ἱαρώνυμος Διογίτονος, | ἄνδρεσσι χοραγείσαντες νικάσαντες Διωνύσοι | ἀνέθεικαν· Τίμωνος ἄρχοντος, αὐλίοντος Κλεινίαο, | ἀίδοντος Ἀλκισθένιος. —

958. Orchomène. (iiie s. av. J.-C.) — Marbre trouvé à Orchomène, actuellement au British Museum. — C.I.G., 1580. — Lebas-Foucart, 618. — Larfeld, *Syll. Inscr. Boeot.*, 25. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 478 (cf. I, p. 393). — Brinck, *op. cit.*, 86. — Newton, *Greek Inscr. in the Br. Mus.*, 159. — C.I.G.S., I, 3211. — Cf. Reisch, *op. cit.*, p. 109.

Ἀλεύας Νίκωνος, Καφισόδωρος Ἀγλαοφαΐδαο ἄνδρεσσι | χοραγίοντες νικάσαντες Διωνύσοι ἀνεθέταν· Ἀθ|ανίαο ἄρχοντος, αὐλίοντος Κλεινίαο, ἀίδοντος Κρά τωνος. —

959. Delphes. (iie s. av. J.-C.) — « Base encore en place, au bord de la voie sacrée, au-dessous du rocher », à Delphes. — Couve, *Bull. de Corr. Hell.*, XVIII, (1894), p. 84 s. (trad.)

Σάτυρος Εὐμένους Σάμιος· | τούτωι πρώτωι συμβέβηκεν μόνωι | ἄνευ ἀνταγωνιστῶν αὐλῆσαι | τὸν ἀγῶνα, καὶ ἀξιωθέντα ἐπιδοῦ||ναι τῶι θεῶι καὶ τοῖς Ἕλλησι μετὰ | τὸν γυμνικόν, τῆι θυσίαι ἐν τῶι στα|δίωι τῶι Πυθικῶι ᾆσμα μετὰ χοροῦ | Διόνυσον καὶ κιθάρισμα ἐκ Βακχῶν | Εὐριπίδου. —

960. Rhodes. (iie s. av. J.-C.) — Base de marbre bleuâtre trouvée à Rhodes. — Foucart, *Rev. Archéol.*, 1866, I, p. 163 s. = *Inscr. inéd. de l'île de Rhodes*, p. 33 s. — Löwy, *Inschr. griech. Bildhauer*, 184a (p. 145). — I.G.Ins., I, 73a.

Κόμων Ἀκέστορος | νικάσας Πύθια καὶ | Ἁλίεια παῖδας πάλαν. |

Θέων Ἀντιοχεὺς ὧι ἁ ἐπιδαμία ἐποίησε.

PHRATRIES, THIASES, CORPORATIONS

961. Athènes. **Règlements de la phratrie des Démotionides.** (396 et milieu du IV^e s. av. J.-C.)

Plaque de marbre pentélique gravée des deux côtés (*A,B*). Trouvée à Décélie (Attique). Στοιχηδόν. — *A* : C.I.A., II, 841^b (2, p. 534). — Koumanoudis, Ἐφημ. Ἀρχ., 1883, p. 69 s. — Schäfer, *Altes und Neues über die attischen Phratrien*, Naumbourg, 1888, p. 4 s. — *B*: Lolling, Δελτίον, 1888, p. 159 s. — C.I.A., IV, 2, 841^b (p. 205 s.). — *A* et *B* : Pantazidis, Ἐφημ. Ἀρχ., 1888, p. 1 s. — Tarbell, *Amer. Journ. of Arch.*, 1889, p. 135 s. (trad.) = *Papers of the Amer. School at Athens*, V, p. 170 s. — H. Sauppe, *De phratriis atticis*, II, Gœttingue, 1890, p. 3 s. — Cf. Schöll, *Sitzungsber. der bayer. Akad.*, 1889, II, p. 1 s. — Buermann, *Berl. Philol. Wochenschr.*, 1889, p. 225 s. et p. 258 s. — Paton, *Class. Rev.*, 1891, p. 221 s. — Wilamowitz, *Aristoteles und Athen*, II, p. 260 s. — Lipsius, *Leipz. Stud.*, XVI (1894), p. 161 s. — Beauchet, *Droit privé de la Républ. Athén.*, I, p. 344 s. — De Sanctis, Ἀτθίς, 1898, p. 67 s. — A. Mommsen, *Die Feste der Stadt Athen*, 1898, p. 323 s. — Le texte prendra place dans le *Recueil des Inscriptions juridiques grecques*, t. II, fasc. 2.

A. Διὸς Φρατρίο· | Ἱερεὺς Θεόδωρος Εὐφαντίδο ἀν|έγραψε καὶ ἔστησε τὴν στήλην. | Ἱερεώσυνα τῶι ἱερεῖ διδόναι τ||άδε· Ἀπὸ τô μείο κωλῆν, πλευρόν, ỏ|ς, ἀργυρίο ΙΙΙ· — ἀπὸ τô κορείο κωλῆ|ν, πλευρόν, ỏς, ἐλατῆρα χοινικια|ῖον, οἴνο ἡμίχον, ἀργυρίο Ͱ. — | Τάδε ἔδοξεν τοῖς φράτερσι ἐπὶ || Φορμίωνος ἄρχοντος Ἀθηναίοι|ς, φρατριαρχôντος δὲ Παντακλέ|ος ἐξ Οἴο. — |

Ἱεροκλῆς εἶπε· Ὁπόσοι μήπω διεδικάσ|θησαν κατὰ τὸν νόμον τὸν Δημοτιωνιδ||ῶν, διαδικάσαι περὶ αὐτῶν τὸς φράτερ|ας αὐτίκα μάλα, ὑποσχομένος πρὸς τô Δ|ιὸς τô Φρατρίο, φέροντας τὴν ψῆφον ἀπ|ὸ τô βωμô· ὃς δ' ἂν δόξηι μὴ ὢν φρατὴρ ἐσα|χθῆναι, ἐξαλειψάτω τὸ ὄνομα αὐτô ὁ ἱερ εὺς καὶ ὁ φρατρίαρχος ἐκ τô γραμματεί|ο τô ἐν Δημοτιωνιδῶν καὶ τô ἀντιγράφ|ο· ὁ δὲ ἐσαγαγὼν τὸν ἀποδικασθέντα ὀφε|ιλέτω ἑκατὸν δραχμὰς ἱερὰς τῶι Διὶ τ|ῶι Φρατρίωι, ἐσπράττεν δὲ τὸ ἀργύριο|ν τοῦτο τὸν ἱερέα

καὶ τὸν φρατρίαρχο|ν ἢ αὐτὸς ὀφείλεν· τὴν δὲ διαδικασίαν | τὸ λοιπὸν ἔναι τῶι ὑστέρωι ἔτει ἢ ὧι ἆ|ν τὸ κόρεον θύσηι τῆι κορεώτιδι Ἀπατ|ορίων, φέρεν δὲ τὴν ψῆφον ἀπὸ τô βωμô· ἐ||ὰν δέ τις βόληται ἐφεῖναι ἐς Δημοτιων|ίδας, ὧν ἂν ἀποψηφίσωνται, ἐξεῖναι αὐ|τῶι· ἑλέσθαι δὲ ἐπ' αὐτοῖς συνηγόρος τ|ὸν Δεκελειῶν οἶκον πέντε ἄνδρας ὑπὲ|ρ τριάκοντα ἔτη γεγονότας, τούτος δὲ || ἐξορκωσάτω ὁ φρατρίαρχος καὶ ὁ ἱερε|ὺς συνηγορήσεν τὰ δικαιότατα καὶ ὀκ | ἐάσεν ὀδένα μὴ ὄντα φράτερα φρατρίζ|εν· ὅτο δ' ἂν τῶν ἐφέντων ἀποψηφίσωντα|ι Δημοτιωνίδαι, ὀφειλέτω χιλίας δρα||χμὰς ἱερὰς τῶι Διὶ τῶι Φρατρίωι· ἐσπρ|αττέτω δὲ τὸ ἀργύριον τοῦτο ὁ ἱερεὺς | τô Δεκελειῶν οἴκο ἢ αὐτὸς ὀφειλέτω· ἐ|ξεῖναι δὲ καὶ ἄλλωι τῶι βολομένωι τῶ|ν φρατέρων ἐσπράττεν τῶι κοινῶι· ταῦ||τα δ' ἔναι ἀπὸ Φορμίωνος ἄρχοντος· ἐπι|[ψ]ηφίζεν δὲ τὸν φρατρίαρχον περὶ ὧν ἂ|ν διαδικάζεν δέηι κατὰ τὸν ἐνιαυτὸν | ἕκαστον· ἐὰν δὲ μὴ ἐπιψηφίσηι, ὀφελέτ|ω πεντακοσίας δραχμὰς ἱερὰς τῶι Διὶ || τῶι Φρατρίω[ι, ἐ]σπράττεν δὲ τὸν ἱερέα | [κ]αὶ ἄλλο[ν τὸν βο]λόμενον τὸ ἀργύριον | [τοῦ]το [τῶι κοινῶι], τὸ δὲ λοιπὸν ἄγεν τὰ | [μεῖα καὶ τὰ κόρει]α ἐς Δεκέλειαν ἐπὶ τ|[ὸν βωμόν· ἐὰν δὲ μὴ θ]ύσηι ἐπὶ τô βωμô, ὀφ||[ειλέτω πεντήκοντ]α δραχμὰς ἱερὰς τῶ|[ι Διὶ τῶι Φρατρίωι· ἐσ]πραττέτω δὲ ὁ ἱερ|[εὺς τô Δεκελειῶν οἴκο ἢ] αὐτὸς ὀφει[λέ|τω - - - |

B. Ἐὰν δέ τι τούτων διακωλύηι, ὅποι ἂν ὁ ἱ|ερεὺς προγράφηι, ἐνθαῦθα ἄγεν τὰ μεῖ|α καὶ τὰ κόρεια. Προγράφεν δὲ πρόπεμπ|τα τῆς δορπίας ἐν πινακίωι λελευκωμ||ένωι μὴ ἔλαττον ἢ σπιθαμιαίωι, ὅπο ἂν Δ|εκελειῆς προσφοιτῶσιν ἐν ἄστει· τὸ δ|ὲ ψήφισμα τόδε καὶ τὰ ἱερεώσυνα ἀναγ|ράψαι τὸν ἱερέα ἐν στήληι λιθίνηι πρ|όσθεν τô βωμô Δεκελειᾶσιν τέλεσι το||ῖς ἑαυτô.

Νικόδημος εἶπε· Τὰ μὲν ἄλλα κατ|ὰ τὰ πρότερα ψηφίσματα ἃ κεῖται περὶ τ|ε̑ς εἰσαγωγῆς τῶν παίδων καὶ τῆς διαδ|ικασίας, τὸς δε μάρτυρας τρε̑ς ὃς εἴρη|ται ἐπὶ τῆι ἀνακρίσει παρέχεσθαι ἐκ τ||ῶν ἑαυτô θιασωτῶν μαρτυρôντας τὰ ὑπερωτώμε(να) | καὶ ἐπομνύντας τὸν Δία τὸν Φράτριον· | μαρτυρε̑ν δὲ τὸς μάρτυρας καὶ ἐπομνύ|ναι ἐχομένος τô βωμô· ἐὰν δὲ μὴ ὦσι ἐν τ|ῶ(ι) θιάσωι τότωι τοσôτοι τὸν ἀριθμόν, ἐ||κ τῶν ἄλλων φρατέρων παρεχέσθω· ὅταν | δὲ ἦι ἡ διαδικασία, ὁ φρατρίαρχος μὴ π|ρότερον διδότω τὴ[ν] ψῆφον περὶ τῶν παί|δων τοῖς ἅπασι φράτερσι, πρὶν ἂν οἱ αὐ|τô τô εἰσαγομένο θιασῶται κρύβδην ἀ||πὸ τô βωμô φέροντες τὴν ψῆφον διαψηφ|ίσωνται· καὶ τὰς ψήφος τὰς τότων ἐναν|τίον τῶν ἁπάντων φρατέρων τῶν παρόν|των ἐν τῆι ἀγορᾶι ὁ φρατρίαρχος διαρ|ιθμησάτω καὶ ἀναγορευέτω ὁπότερ' ἂν || ψηφί-

σωνται· ἐὰν δέ, ψηφισαμένων τῶν θ|ιασωτῶν ἐ͂ναι αὐτοῖς φράτερα, οἱ ἄλλο|ι φράτερες ἀποψηφίσωνται, ὀφειλόντ|ων ἑκατὸν δραχμὰς ἱερὰς τῶι Διὶ τῶι Φ|ρατρίωι οἱ θιασῶται, πλὴν ὅσοι ἂν τῶν || θιασωτῶν κατήγοροι ἢ ἐναντιόμενοι | φαίνωνται ἐν τῆι διαδικασίαι· ἐὰν δὲ | ἀποψηφίσωνται οἱ θιασῶται, ὁ δὲ εἰσά|γων ἐφῆι εἰς τὸς ἅπαντας, τοῖς δὲ ἅπασ|ι δόξει ἐ͂ναι φράτηρ, ἐνγραφέσθω εἰς τ||ὰ κοινὰ γραμματεῖα· ἐὰν δὲ ἀποψηφίσω|νται οἱ ἅπαντες, ὀφειλέτω ἑκατὸν δρα χμὰς ιερὰς τῶι Διὶ τῶι Φρατρίωι· ἐὰν δέ, | ἀποψηφισαμένων τῶν θιασωτῶν, μὴ ἐφῆ|ι εἰς τὸς ἅπαντας, κυρία ἔστω ἡ ἀποψήφ||ισις ἡ τῶν θιασωτῶν· οἱ δὲ θιασῶται με|τὰ τῶν ἄλλων φρατέρων μὴ φερόντων τὴν | ψῆφον περὶ τῶν παίδων τῶν ἐκ τô θιάσο | τô ἑαυτῶν. Τὸ δὲ ψήφισμα τόδε προσαναγ|ραψάτω ὁ ἱερεὺς εἰς τὴν στήλην τὴν λι||θίνην. Ὅρκος μαρτύρων ἐπὶ τῆι εἰσαγω|γεῖ τῶν παίδων· Μαρτυρῶ ὃν εἰσάγει ἑα|υτῶι ὑὸν ἐ͂ναι τôτον γνήσιον ἐγ γαμετ|ῆς· ἀληθῆ ταῦτα νὴ τὸν Δία τὸν Φράτριο|ν· εὐορκô(ν)τι μέν μοι πολλὰ καὶ ἀγαθὰ ἐ͂ν||αι· εἰ δ' ἐπιορκοίην, τἀναντία. — |

Μενέξενος εἶπεν· Δεδόχθαι τοῖς φράτερσι περὶ | τῆς εἰσαγωγῆς τῶμ παίδων τὰ μὲν ἄλλα κα|τὰ τὰ πρότερα ψηφίσματα, ὅπως δ' ἂν εἰδῶσι οἱ | φράτερες τοὺς μέλλοντας εἰσάγεσθαι, ἀπο||γράφεσθαι τῶι πρώτωι ἔτει ἢ ὧι ἂν τὸ κούρεο|ν ἄγει τὸ ὄνομα πατρόθεγ καὶ τοῦ δήμου καὶ τῆ|ς μητρὸς πατρόθεν καὶ τοῦ δήμου πρὸς τὸν | φρατρίαρχον· τὸν δὲ φρατρία|ρχον ἀπογραψ]|αμένων ἀναγράψαντα ἐκ[τιθέναι ὅπου ἂν Δεκ]||ελεεῖς προσφοιτῶσι, ἐκτιθ[έναι δὲ καὶ τὸν ἱερέα] | ἀναγράψαντα ἐν σανιδ[ίωι λευκῶι ἐν τῶι ἱερ]|ῶι τῆς Λητοῦς. Τὸ δὲ ψ[ήφισμα τόδε ἀναγράψαι | εἰς τὴν] στήλη[ν ----

962. Athènes. Décret du γένος des Céryces. (Fin du IVe s. av. J.-C.)

Plaque de marbre pentélique surmontée d'un fronton, brisée en bas. Trouvée à Éleusis. Στοιχηδόν. — Lenormant, *Recherches archéol. à Éleusis*, p. 58. — C.I.A., II, 597. — Dittenberger, 385. — Cf. Le même, *Hermes*, XX (1885), p. 1 s.

[Θ]εοί. | Ἐπιγένης Εὐεργέτου ἐκ Κοίλης εἶπεν· | [Ἐ]πειδὴ Εὐθύδημος ὁ πάρεδρος τοῦ βασ|[ι]λέως καλῶς καὶ φιλοτίμως μετὰ τοῦ β||[ασ]ιλέως κα[ὶ] τοῦ γέν[ο]υς τοῦ Κηρύκων ἐ|[πε]μελήθη τ[ω|ν περὶ τὰ μυστήρια καὶ φ[ι|λ'οτιμού|μεν]ος διατελεῖ πρὸς τὸ γέν[ο|ς] τὸ Κηρύ[κων] καί [ἐσ]τιν εὔνους ἅπασ[ιν | ἀε]ί, [κ]αὶ λακ . νκ ---

963. Athènes. Décret du γένος des Eumolpides. (Fin du iv^e s. av. J.-C.)

Plaque de marbre pentélique brisée en deux morceaux. Trouvée à Éleusis. Στοιχηδόν. — Philios, Ἐφημ. Ἀρχ., 1890, p. 83. — Foucart, *Rev. des Ét. gr.*, 1893, p. 330 s. (trad.) — C.I.A., IV, 2. 597^b (p. 149).

Θ[εοί]. | Ἱροφά[ντης εἶπεν· Ἐπειδὴ Τληπό]|λεμος Α[........ .... κα]|λῶς καὶ φι[λοτίμως καὶ εὐσεβῶ]ς τ||ῶν ἱερῶν ἐ[πι-μελεῖται καὶ] τὸ το[ῦ] | Πλούτωνος ἱερ[ὸν καλῶς ἐκ]όσμη|σεν· ἐπαινέσαι [αὐτὸν κ]αὶ στεφα|νῶσαι μυρρίνης [στεφά]νωι εὐσ[ε]|-βείας ἕνεκα καὶ φ[ιλ]οτιμίας· νέ||μειν δὲ αὐτῶι καὶ [με]ρίδα ἐγ [μ]υσ|τηρίων τῶν μεγάλ[ω]ν καὶ τῶν πρὸ|ς Ἄγραν ὅσημπερ [Ε]ὐμολπιδῶν ἑκ|άστωι, ἐπειδὴ σπουδαῖός ἐστι π|ερὶ τὰ ἱερὰ κα[ὶ τ]ὸ γένος τὸ Εὐμο||[λπιδ]ῶν. Ἀνα[γράψαι] δὲ τὸ ψήφ[ισμ]α ἐν στ]ήλ[ηι λιθίνηι -----

964-65. Athènes. Décrets des Céryces et des Eumolpides.

964. (iii^e s. av. J.-C.) — Stèle de marbre de l'Hymette trouvée à Éleusis. — Philios, Ἐφημ. Ἀρχ., 1883, p. 81 s. — C.I.A., IV, 2, 597^c (p. 150).

Θρασυφῶν Ἱεροκλείδου Ξυπεταιὼν εἶπεν· | Ἐπειδὴ ὁ ἱεροφάντης Χαιρήτιος εὔνους ὢν δι|ατελεῖ τῶι γένει τῶι τε Κηρύκων καὶ Εὐμολ|πιδῶν καὶ λέγει καὶ πράττει ὅ τι ἂν δύνηται || ἀγαθὸν ὑπὲρ αὐτῶν καὶ τοῖς ἀποδημοῦσιν ἐ|πὶ τὰς σπονδοφορίας διατελεῖ μετ' εὐνοίας | ἀπογράφων τὴν ἐπαγγελίαν, ἀναστρέφεται | δὲ καὶ ἐν τεῖ ἀρχεῖ τῆς ἱερεωσύνης εὐσχημό|νως, ἀνέγκλητον ἑαυτὸν παρασκευάζων· ὅπω[ς] || ἂν οὖν καὶ τὰ γένη φαίνηται τιμῶντες τοὺς | ὄντας εὔνους τε καὶ ἀξίους ἑαυτῶν· ἀγαθεῖ | τύχει, δεδόχθαι Κήρυξι καὶ Εὐμολπίδαις· ἐπαινέ|σαι τὸν ἱεροφάντην Χαιρήτιον Προφήτου Ἐλευ|σίνιον καὶ στεφανῶσαι μυρρίνης στεφάνωι ὧι || πάτριόν ἐστιν αὐτῶι εὐνοίας ἕνεκεν ἣν ἔχων | διατελεῖ εἰς τὰ γένη, καὶ ἀναγορεύειν τοῦτον | τὸν στέφανον Διονυσίων τῶι πατρίωι ἀγῶνι | Ἐλευσῖνι ἐν τῶι θεάτρωι· τῆς δὲ ἀναγορεύσεως | τοῦ στεφάνου ἐπιμελεῖσθαι τοὺς ἄρχοντας || τοὺς ἀεὶ καθισταμένους ἐξ ἑκατέρου τοῦ γένους. | Ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα ἐν στήλει λιθίνει | καὶ στῆσαι Ἐλευσῖνι ἐν τεῖ αὐλεῖ τοῦ ἱεροῦ· τῆς | δὲ ποήσεως τῆς στήλης καὶ τῆς ἀναθέσεως ἐπι|μεληθῆναι τοὺς ἄρχοντας τῶν γενῶν. —

Couronne : Κήρυκες | καὶ Εὐμολπίδαι | τὸν ἱεροφάντην | Χαιρήτιον | Ἐλευσίνιον.

Cf Die Inschriften von Magnesia a. M. n° 55. Décret de Rhodes
[... τὰν ἀπογ[ραφὰ]ν ἐποι[ή]σ[αντ]ο (les ambassa[deurs]

Cf. U. Köhler, Sitzungsb. de l'Académie de Berlin
1900, p. 999 – 1001. Cf p. 942–959.

Philonidès = l'épicurien dont Crönert a publié une βίος "

Cf Delphes – Ch. M. n° 656, iii, p. 34.
– et Baunack G.D. Inschr.
n° 2677.

965. (Comm. du IIe s. av. J.-C.) — Plaque de marbre pentélique brisée de trois côtés. — C.I.A., II, 605. — Cf. *Ibid.*, IV, 2, p. 151. — Kœhler, *Athen. Mitth.*, VIII (1883), p. 382 s. — Latyschev, *Ibid.*, X (1885), p. 76. — Dittenberger, *Hermes*, XX (1885), p. 9 s. — Tœpffer, *Att. Geneal.*, p. 21 s.

------ π]αρὰ τοῦ δήμου πρὸς τοὺς βασιλε[ῖς ---|-----] καὶ διὰ ταῦτα καὶ τὰς ἄλλας εὐεργεσίας ἃς πο[ιῶν | διατελεῖ τὸν δῆμον, ἐτίμη]σεν ὁ δῆμος πολιτείαι αὐτόν τε καὶ τοὺς ὑοὺς αὐ[τοῦ | Φιλωνίδην καὶ Δικαίαρχ]ον καὶ ἐστεφάνωσεν θαλλοῦ στεφάνωι καὶ πάλιν χρυσῶι || [στεφάνωι καὶ ἔστησ]εν ἐν τῶι τεμένει τοῦ Δήμου καὶ τῶν Χαρίτων βουληθέντο[ς | καὶ αὐτοῦ καὶ ἔ]σωισεν ἐκ τῆς αἰχμαλωσίας τὴν πᾶσαν σπουδὴν ποιησάμεν|[ος αὐτοῦ καὶ ἐλθόντος] αὐτοῦ εἰς τὴν πόλιν μετὰ τοῦ πρεσβυτέρου τῶν ὑῶν Φιλω|[νίδου προσήγαγον αὐτο]ὺς οἱ πρυτάνεις πρὸς τὸν δῆμον ἐν ἱεροῖς καὶ διαλέγοντ[ο|ς αὐτοῦ περὶ τῆς εὐνοία]ς ἧς ἔχουσι πρὸς πάντας Ἀθηναίους φιλανθρώπως πρ[ο||σεδέξατο ὁ δῆμος] καλέσαι αὐτοὺς εἰς τὸ πρυτανεῖον ἐπὶ τὴν κοινὴν ἑστία|[ν τοῦ δήμου· ἵνα οὖν καὶ Ε]ὐμολπίδαι καὶ Κήρυκες αὐτὸν καὶ τοὺς ἐκγόνους αὐτοῦ | [εὐσεβήσαντας] τὰ περὶ τὼ<ι> θεὼ<ι> φαίνωνται τιμῶντ[ες καὶ] φιλοτιμού|[μενοι περὶ τοὺς] εἰς τοὺ(ς) ἐκπεμπομένους ἐξ ἑαυτῶ[ν ἀγαθούς]· — ἀγα[θ|ῆι τύχηι, δεδόχθαι τοῖς γένε]σιν ἐξ ὧν οἱ σπονδοφόροι ἐκπέμποντ[αι· ἐπαι]νέσα[ι Φι]λ[ω||νίδην Λαοδικέα καὶ τοὺς ὑοὺ]ς αὐτοῦ Φιλωνίδην καὶ [Δικ]αίαρχον καὶ στεφανῶσα[ι αὐ]τοὺς μυρρίνης στεφά]νωι ὧι πάτριόν ἐστιν στεφανῶσαι τοὺς ἑαυτῶν ε[ὐερ|γέτας· εἶναι δὲ αὐτῶι καὶ τ]οῖς ἐκγόνοις αὐτοῦ διατηροῦσιν τὴν αὐτὴν [εὔνοι|αν πρὸς τὸν δῆμον εὑρέσθ]αι καὶ ἄλλο ἀγαθὸν ὅτου ἂν δοκῶσιν ἄξιο[ι εἶναι. | Ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα τὸν ἄρ]χοντα τῶν γενῶν ἐν στήλει λιθίνει [--||- ---- τὸ δὲ] ἀν[άλ]ωμ[α ἀπ]οτίσασθαι [τοῖ]ς γένε[σι --

966-67. Athènes. Décrets des orgéons d'Amynos, d'Asclépios et de Dexion.

966. (2e moitié du IVe s. av. J.-C.) — Stèle de marbre pentélique, ornée d'un fronton portant deux couronnes. Trouvée à l'ouest de l'Acropole. — Kœrte, *Athen. Mitth.*, XXI (1896), p. 299 s.

Κλειαίνετος Κλεομένους ⁝ Μελιτεὺς ⁝ εἶπεν· | Δεδόχθαι τοῖς ὀργεῶσι· ἐπειδή εἰσιν ἄνδρες | ἀγαθοὶ περὶ τὰ κοινὰ τῶν ὀργεώνων τοῦ Ἀμύ|νου καὶ τοῦ Ἀσκληπιοῦ καὶ τοῦ Δεξίονος || Καλλιάδης Φιλίνου : Πειραιεύς :, Λυσιμαχί|δης Φιλίνου : Πειραιεύς :,

ἐπαινέσαι αὐτοὺς | ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης τῆ(ς) εἰς τοὺς | θεοὺς καὶ περὶ τὰ κοινὰ τῶν ὀργεώνων, καὶ | στεφανῶσαι αὐτῶν ἑκάτερον χρυσῶι στε||φάνωι ἀπὸ : 𐅅 : δραχμῶν· εἶναι δ᾽ αὐτοῖς καὶ | ἀτέλειαν τοῦ χοῦ ἐν ἀμφοῖν τοῖν ἱεροῖν | καὶ αὐτοῖς καὶ ἐγγόνοις· δοῦναι δὲ καὶ εἰς | θυσίαν καὶ ἀνάθημα αὐτοῖς ὅ τι ἂν δόξει | τοῖς ὀργεῶσιν. Ἀναγράψαι δὲ τόδε τὸ ψήφι||σμα ἐν στήλαις λιθίναις δυοῖν καὶ στῆσαι | τὴν μὲν ἐν τῶι τοῦ Δεξίονος ἱερῶι, τὴν δὲ | [ἐ]ν τῶι το[ῦ] Ἀμύνου καὶ Ἀσκληπιοῦ· δοῦνα[ι] | δὲ καὶ εἰς τὰς στήλας αὐτοῖς ὅ τι ἂν δόξε[ι] | τοῖς ὀργεῶσι, ὅπως ἂν καὶ οἱ ἄλλοι φιλοτι||[μῶντα]ι περὶ τὰ κοινὰ τῶν ὀ[ρ]γεώνων εἰδό|-[τες ὅτι χάριτας ἀποδ]ώσουσι τοῖς εὐεργετοῦ||[σιν ἀξίας τῶν εὐεργετημάτων. —

Le marbre porte, ligne 17, ΤΩΙΤΟΤ; ligne 20, ΤΩΝΟΙΓΕΩΝΩΝ.

967. (IIIe s. av. J.-C.) — Petite stèle à fronton, en marbre bleu. Brisée en trois morceaux, le haut, à droite, manque. Trouvée à l'ouest de l'Acropole. — Bourguet, *Bull. de Corr. Hell.*, XVIII (1894), p. 491 s. — C.I.A., IV, 2, 617c (p. 306).

Θεοί. — | Ἔδοξεν τοῖς [ὀργεῶσιν· - - -] | Ἱππομάχου Με[λιτεὺς εἶπεν· Ἐπειδὴ Διό]||δωρος καὶ Ἀντ[- - - - - - - - ἄν]||δρες δίκαιοι γε[γό]νασι περὶ τὰ κοινὰ || τῶν ὀργειώνων τοῦ Ἀμύνου καὶ τοῦ | Ἀσκληπιοῦ καὶ τοῦ Δεξίονος : ἐπαινέ[σ]αι αὐτούς : δικαιοσύνης ἕνεκα καὶ | στεφανῶσαι αὐτῶν ἑκάτερον χρυσῶι | στεφάνωι. Τὸ δὲ ψήφισμα τόδε ἀναγρά||ψαι ἐ[ν] τῶ[ι] ἱερῶι ἐν στήλει λιθίνει. —

968. Athènes. **Décret des Mésogéens.** (Milieu du IIIe s. av. J.-C.)

Stèle de marbre blanc trouvée près d'Athènes. — Koumanoudis, Ἀθήναιον, IV (1875), p. 112 s. — C.I.A., II, 603.

Ἐπιγ]ένη[ς Μητροδώρου | Κ]υδαθηναιε[ύ]ς. — | Προκλείδης ἐκ Κεραμέων εἶπεν· [Ἐπ]ειδὴ Ἐπιγένης ἄρχων αἱρεθεὶς [ὑ]||πὸ Μεσογέων τὰς θυσίας ἔθυσε το[ῖ]|ς τε θεοῖς καὶ τοῖς ἥρωσι καλῶς καὶ | κατὰ τὰ πάτρια καὶ τῆς πονπῆς ἐπ|εμελήθη τῶι Ἡρακλεῖ καλῶς καὶ φ|ιλοτίμως<ς> καὶ τὰ κρέα ἅπαντας (ε)ἰσέ||πραξε· δεδόχθαι Μεσογείοις· ἐπα|ινέσαι αὐτὸν καὶ στεφανῶσαι χρ|υσῶι στεφάνωι ἀπὸ πεντακοσίων [δ]|ραχμῶν· καὶ ἀνειπέτω ὁ κῆρυξ ἐν τ|ει ἑορτει τοῦ Ἡρακλέους ἐν τῶι || [Ἡ]ρακλέωι ὅτι· Μεσόγεοι στεφανοῦ||[σ]ι Ἐπιγένην Μητροδώρου Κυδαθη|ναέα δικαιοσύνης ἕνεκα. Ἐπαινέ|σαι δὲ

καὶ τὸν ἱερέα τοῦ Ἡρακλ(έ)ους | καὶ τὸν τοῦ Διόμου καὶ τοὺς μνήμο||νας καὶ τὸν πυρφόρον καὶ τὸν κορα|γωγὸν καὶ τὸν κήρυκα τὸν πάτριον καὶ | στεφανῶσαι ἕκαστον αὐτῶν θαλλοῦ | στεφάνωι ὅτι [κ]αλῶς καὶ φιλοτίμως | συνεπεμελήθησαν τῆς πομπῆς τῶι Ἡ||ρακλεῖ καὶ τῆς θυσίας. Ἀναγράψαι δ|ὲ τόδε τὸ ψήφισμα ἐν στήληι λιθίν|ηι καὶ στῆσαι ἐν τῶι ἱερῶι· εἰς δὲ τ|ὴν ἀναγραφὴν τῆς στήλης [δ]ότω ὁ ἄρ|χων Ἀδείμαντο[ς] : Δ : δραχμὰς ἐκ τῆς κοινῆς προσόδου τῶν τοῦ θεοῦ χρη|μάτων καὶ εἰς θυσίαν : ΔΠ : δραχμάς. | —

Le marbre porte, ligne 28, ΤΟΤΩ; ligne 29, ΑΔΕΙΜΑΝΤΟΝ.

969. Athènes. Décret d'un thiase en l'honneur des épimélètes et de leur secrétaire. (278/7 av. J.-C.)

Stèle de marbre de l'Hymette trouvée dans une carrière à l'est de la Pnyx. Στοιχηδόν. — Lolling, Δελτίον, 1892, p. 100 s. — C.I.A., IV, 2, 615b (p. 160 s.).

Ἐπὶ Δημοκλέους ἄρχοντος· Μουνιχιῶν|ος [ἑβδ]όμ[η]ι ἐ[π]ὶ δ[έκα]· ἀγορᾶι κυρίαι. Νο[υ]μ[ηνι]ία[ς] εἶ[π[ε]ν· Ἐπ[ειδὴ] οἱ ἐπιμεληταὶ | καὶ ὁ γραμματεὺς ο[ἱ] ἐπὶ Δ[η]μοκλέους ἄρ||χον[το]ς κατασταθέντες ὑπὸ τοῦ κοινο|ῦ, τοῦ τε ἱεροῦ ἐπιμ[εμέ]λη[ντ|αι καλῶς κ|αὶ φιλοτιμῶς καὶ τ[ὰς] θυσ|ίας] ἔθυσαν π[άσας κατὰ τὰ πάτρια καὶ τὰ νόμιμα, ἐπε[κ]όσμησαν δὲ κα[ὶ τὴ]ν θεὸν καὶ τὸν βωμὸ[ν] ἐξ ἀρχῆς ᾠκοδόμησαν, καὶ εἰς ταῦτα | ἐπιδεδώκασιν παρ' ἑαυτῶν ΓΔΓ δραχμά|ς, καὶ ποτήρ[ιο]ν ἀργυροῦν ποησάμενοι | παρ' ἑαυτῶν ἀνέθηκαν τῆι θεῶι ὁλκὴν 𐅄|ΔΗΗΙΙΙ δραχμάς· ἐπιμεμέληνται δὲ καὶ τ||ῶν ἀπογενομένων καλῶς καὶ φιλοτίμω|ς, δεδώκασιν δὲ λόγον καὶ εὐθύνας πάν|των ὧν διωικήκασιν· ἀγαθῆι τύχηι, δεδ|όχθαι τοῖς θιασώταις· ἐπαινέσαι τού|ς τε ἐπιμελητὰς Εὐκλῆν, Θάλλον, Ζήνων[α] καὶ τὸν γραμματέα Κτησίαν καὶ στεφ|ανῶσαι ἕκαστον αὐτῶν θαλλοῦ στεφάν|ωι ἀρετῆς ἕνεκα καὶ φιλοτιμίας τῆς π|ρὸς τὸ κοινὸν καὶ εὐσεβείας τῆς πρὸς | τὴν θεόν· ἀναγορεύεσθαι δὲ καὶ τοὺς σ||τεφάνους αὐτοῖς καὶ τὸν ἔπαινον καθ' | ἑκάστην τὴν θυσίαν μετὰ τῶν ἄλλων εὐ[ε]ργετῶν· εἶναι δὲ αὐτοῖς καὶ ἄλλο ἀγα|θὸν εὑρέσθαι παρὰ τοῦ κοινοῦ οὗ ἂν δο|κῶσιν ἄξιοι εἶναι, ὅπως ἂν πάντες οἱ α[ἰ]εὶ καθιστάμενοι εἰς τὰς ἐπιμελεία|ς φιλοτιμῶνται πρός τε τὴν θεὸν καὶ τ|ὸ κοινόν, εἰδότες ὅτι χάριτας ἀξίας κ|ομιοῦντ[α]ι. Ἀναγράψαι δὲ τόδε τὸ ψήφι|σμα τοὺς ἐπιμελητὰς τοὺς μετὰ Δημοκ|λέα ἐν στήληι λιθίνηι καὶ στῆσαι ἐν τ|ῶι ἱερῶι. — |

Εὐκλῆν. Θάλλον. | Ζήνωνα. Κτησίαν.

970. Athènes. **Décret d'un thiase ordonnant la confection d'une liste de ses membres.** (Fin du iii[e] s. av. J.-C.)

Plaque de marbre de l'Hymette, brisée en haut et en bas. Trouvée près du Dipylon. Στοιχηδόν. — Koumanoudis, Ἀθήναιον, VIII (1879), p. 235. — Dittenberger, 426. — C.I.A., IV, 2, 618[b] (p. 162).

- - - ενι[- - - | Δ]ωρίων | [Ν]ουμήνιος | [Φ]ειδίας || [Σω]σιγένης | [Δί]ης. |

- - - - - - - - | Καλλ[ίστιο]ν | Δόρκιον | Κόμψη || Σιμάλη | Μηλίς. |

[Ἀγα]θῆι τύχηι. Ἐπὶ Διομέδοντος ἄρχοντος· Σ|[κιρ]οφοριῶνος ἀγορᾶι κυρίαι, Διονύσιος Τ . . . . ιος εἶπεν· Δεδόχθαι τῶι κοινῶι τῶν θι||[ασωτ]ῶν· — Ἐπεὶ τά τε ἄλλα πράττουσιν καλῶς | [κ]αὶ εὐσεβῶς τὰ κατὰ τοὺς θεούς, ἀναθεῖναι | [α]ὐτοὺς καὶ στήλην ἐν τῶι ἱερῶι τῆς Ἀρτέμι|[δο]ς καὶ τὰ ὀνόματα ἀναγράψαι τῶν θιασωτῶ|[ν π]άντων, ἀναγράφειν δὲ καὶ τῶν ἱερειᾶν τῶ||[ν ἀ]εὶ γενομένων κατ' [ἐ]νιαυτὸν ἀπὸ Διομέδο|[ν]τος ἄρχοντος, ἐὰν δόξει τῶι κοινῶι ὀρθῶς ἐ|[π]ιμεμελῆσθαι τῶν κατὰ τὴν θεόν· — ἀναγράφ|ειν δὲ καὶ τῶν ἐπεισιόντων συνθιασωτῶν | τὰ ὀνόματα, ἐπὰν καταβάλωσιν τὸ ἐπιβάλλο||[ν] αὐτοῖς τοῦ ὑπάρχοντος ἀργυρίου κατὰ τὸ|[ν ν]ό[μ]ον ἐν τῶι ἐράνωι· — ἐνγραφέτω δὲ ἕκαστ|ος αὑτὸν τῶι αὑτοῦ ἀναλώματι μετὰ τοῦ ταμ|[ί]ου καὶ τοῦ γραμματέως. — |

Τὸν ταμί||αν | Διονύσιον.

Τὸν γραμ||ματέα | Θεόπροπον.

971. Athènes. **Décret d'un thiase en faveur du trésorier.** (ii[e] s. av. J.-C.)

Plaque de marbre pentélique brisée en bas. Trouvée à Athènes. — Kœhler, *Athen. Mitth.*, IX (1884), p. 388. — C.I.A., IV, 2, 623[b] (p. 167).

Θεο[ί. | Ἐ]πὶ [Δ]ιονυσίου ἄρχοντος· Ἐλαφηβο|λιῶνος ἀγορᾶι κυρίαι. Ἔδοξεν τοῖς θι|[α]σώταις. Ζήνων Ζηνοδότου Ἐρικεεὺς | εἶπεν· Ἐπειδὴ Θέων κατασταθεὶς τ[α]||μία[ς ε]ἰς τὸν ἐνιαυτὸν τὸν ἐπὶ Νικ[ο]|φῶντος ἄρχοντος λελειτούργηκ[εν] | ἔτη πλείω, μεμέρικεν δὲ καὶ εἰς τὰς θ[υ]|σίας ἐν τοῖς καθήκουσι χρόνοις ἀπ[ρο|φ]άσιστος, δέδωκεν δὲ καὶ τοῖς μετα[λ]|λ]άξασιν τὸ ταφικὸν παραχρῆμα· ὁ[μ]ο[ί]|ως δὲ καὶ ὁ γραμματεὺς λελειτούρ[γ|η]κεν ἔτη πλείω, καὶ διατελοῦσ[ιν εὔν|ους] ὄντες τῶι κοινῶι τῶν θ[ιασωτῶν καὶ | παρ]ασκευάζοντες ἑαυ[τοὺς εὐχρήσ||του]ς καὶ ἴσο[υς] α- - - - - | - - ομιλ- - -

972. Athènes. Liste des membres d'un éranos. (IIIe s. av. J.-C.)

Plaque de marbre pentélique, incomplète en bas. Trouvée au Pirée. — Koumanoudis, Ἐφημ. Ἀρχ., 1883, p. 245 s. — C.I.A., IV, 2, 626b (p. 170).

Θεο[ί]. | Ἀγαθεῖ τύχει. Ἐπὶ Θεοκλέους ἄρχον|τος· Μουνιχιῶνος ἀγορᾶι κυρίαι· | ἔδοξεν τοῖς Σαβαζιασταῖς ἀνα γράψαι τὰ ὀνόματα τῶν ἐρανι|στῶν ἐν στήληι λιθίνηι καὶ στῆσαι | ἐν τῶι ἱερῶι. — | Ἱερεύς, | Ζήνων Ἀντιοχεύς· || ταμίας καὶ | γραμματεὺς | καὶ ἐπιμελητής, | Δωρόθεος Ὀαθεν. | Ἐρανισταί, || Εὔβουλος Σημαχίδης, Βάκχιος Μιλήσιος, | Ξενοκλείδης Σουνιεύς, | Διοκλῆς Κολωνῆθεν, Ἔπαινος Φαληρεὺς νε(ώτερος), || Σωμένης Οἰναῖος, | Ἔπαινος Φαληρεὺς πρεσ(βύτερος), | Διογένης Μακεδών, Φαῖδρος Μιλήσιος, | Διογένης Ἀμφιτροπῆθεν, | Ἀπελλῆς Κολωνῆθεν, | Ἀπολλόδωρος Τρικορύσιος, | Φιλοκράτης Ξυπεταιών, | Θεοδόσιος Ἀχαρνεύς, | Κόϊντος Προβαλίσιος, || Ἀρτέμων Λαοδικεύς, | Διονύσιος Λαοδικεύς, | Δημήτριος Ἀντιοχεύς, | Διόδοτος Ἁλιμούσιος, | Διονύσιος Ἁλιμούσιος, || Ἀθηνόδοτος Οἰναῖος νε(ώτερος), | Μενέδημος Μακεδών, Σήραμ|βος Αἰθαλίδης, | Θεοδόσιος Ἁγνούσιος, | Ζώβιος Ἡρακλεώτης, || Διονύσιος Φλυεύς, | Εὐφρόνιος Φαληρεύς, | Εὐρύστρατος Κικυννεύς, | Ἀθηνόδοτος Οἰναῖος πρε(σβύτερος), | Διονύσιος Ἕρμειος, || Σῶσος Μαρωνιτής, | Φίλων, — | Λῦσις Παλληνεύς, | Πλούταρχος Αἰγινήτης, | Ἀριστοτέλης Παιανιεύς, || Ὠκυμένης Προβαλίσιος, | Πύθων, — | Πολέμαρχος Φαληρεύς, | Σωσιγένης Προβαλίσιος, Ῥόδιππος Ῥαμνούσιος, | Σωσιγένης Ἀπαμεύς, | Φιλόστρατος Κολωνῆθεν, | Μενέμαχος Παιανιεύς, | Ἀγαθοκλῆς δημόσιος, | Ἀριστόνικος Ὀῆθεν, | Δημήτριος Ἀλωπεκῆθεν, | Ληναῖος Μιλήσιος, | Θέων Ὀῆθεν, | Σωτᾶς Ἀναγυράσιος, | Εὐβουλίδης, — || Δημήτριος Ἁμαξαντεύς. | ----ο. ἐπὶ Μηδείου· Μουνιχιῶνος. —

973. Athènes. Décret des Sotériastes en l'honneur de Diodoros. (36/35 av. J.-C.)

Plaque de marbre de l'Hymette trouvée près du Dipylon. — Mylonas, Ἐφημ. Ἀρχ., 1893, p. 49 s. — C.I.A., IV, 2, 630b (p. 171). — Nous avons revu le texte sur un estampage que nous devons à l'obligeance de M. Ad. Wilhelm.

Διόδω|ρον Σω|κράτους | Ἀφιδναῖ||ον. |

Ἐπὶ Θεοπίθου ἄρχοντος· Μουνιχιῶνος | ἕκτη· Ἐπ[ε]ιδὴ [Δι]όδωρος Σωκράτους Ἀφ[ι]δναῖος εὔνους ὢν διατελεῖ τῶι [κοινῶι] τῶ[ν] | Σωτηριαστῶν καὶ λόγῳ καὶ ἔργωι πρά[ττ]ων τὰ || συνφέ-

ροντα τῇ συνόδωι, γενηθεὶς δ[ὲ] | καὶ παραίτιος τῆς ἄνωθεν συλλογῆς καὶ | τὴν σύνοδον αὐτὸς κτίσας ἀρχερανισ|τὴς ὑπέμεινεν· καὶ ταμιεύσας ἐν τῶι ἐπὶ | Εὐθυδόμου ἄρχοντος ἐνιαυτῶι προεστά τησεν τοῦ θεμελιωθῆναι τὴν σύνοδον· ἀ διαλίπτως δὲ ἐπαγωνιζόμενος καὶ ἐν | τῶι ἐπὶ Νικάνδρου ἄρχοντος ἐνιαυτῷ ταμιεύ|σας ὡσαύτως εὔξησεν τὰ κοινά· ἀκοπίατον δὲ | ἑα(υ)τὸν παρεχόμενος καὶ ἐν τῷ ἐπὶ Διοκλέους || Μελιτέως ἄρχοντος ἐνιαυτῶι ταμιεύσας ἐποί|ησεν ἐκ πλήρους τὰ δίκαια, καὶ τὰ νῦν ἐν τῶι | ἐπὶ Καλλικρατίδου ἄρχοντος ἐνιαυτῷ ταμιεύσας π[ᾶ]|σαν εἰσηνέγκατο σπουδὴν καὶ φιλοτιμίαν περὶ τῶν κοι|νῶν· κατασταθεὶς δὲ καὶ ἱερεὺς τῆς Σωτείρας ἐν τῶι ἐ|πὶ Μενάνδρου ἄρχοντος ἐνιαυτῶι ἐκαλλιέρησεν καὶ ἀφιλαργύρως | ἱστανόμενος ἡστίασεν τοὺς ἐρανιστὰς ἐκ τῶ<ι>ν ἰδίων | ἀναλώσας οὐκ ὀλίγον χρῆμα· ἐφ' οἷς ἅπασιν ἡ σύνοδος ἀποδε|ξαμένη τὴν ἐκτένειαν καὶ φιλοτιμίαν αὐτοῦ ὁμοθυμα|δὸν προεβάλετο τοὺς εἰσοίσοντας αὐτοῖς τὰς καθηκού||σας τιμάς, Λεύκιον Ἀρτεμιδώρου Ἀζηνιέα, Δημήτριον Ἀρτε|μιδώρου Λαμπτρέα, Διότιμον Δημητρίου Κηφισιέα, Φίλιππον | Φιλίππου Ἰκαριέα· τύχῃ ἀγαθῆι, δεδόχθαι τῷ κοινῶι τῶν Σωτηρι|αστῶν ὧν ἀρχερανιστὴς Διόδωρος Σωκράτους Ἀφιδναῖος· (ἐπαινέσαι Διόδωρον) καὶ | στεφανῶσαι θαλλοῦ στεφ(ά)νωι ἐφ' ᾗ ἔσχηκεν πρὸς τὴν σύνοδον || ἀδιαλίπτωι φιλοτιμίᾳ· στεφανοῦσθαι δὲ αὐτὸν καθ' ἕκα[σ]|τον ἐνιαυτὸν ὑπὸ τοῦ ἀεὶ ἐσομένου ταμίου καθὼς καὶ οἱ | ἱερεῖς καὶ ὁ ἀρχερανιστής· ἀναγορεύεσθαι δὲ ὅτι τὸ κοι|νὸν τῶν Σωτηριαστῶν στεφανοῖ τὸν Διόδωρον κατὰ τὸ δό|γμα. Ἀναγράψαι δὲ τόδε τὸ δόγμα εἰς στήλην λιθίνην || καὶ ἀναθῖναι ἐν τῶι τεμένει τῆς Σωτείρας ἵνα τούτων | συντελουμένων πολλοὶ ζηλωταὶ γίνωνται τὴν | <την> σύνοδον ἐπαύξειν, βλέποντες τὸν κτίσαντα τυγ|χάνοντα τῆς πρεπούσης εὐνοίας τε καὶ μνήμης. — | Λεύκιος Ἀρτεμιδώρου Ἀζηνιεὺς εἶπεν. — Τῶ<ι>ν ψήφ||φων αἷς ἐδόκει τόδε τὸ δόγμα κύριον εἶναι, ἑξήκο[ντα]· | αἷς δὲ οὐκ ἐδόκει, οὐδεμία. —

974. Athènes. Décret du κοινόν des Eicadéens. (324/3 av. J.-C.)

Plaque de marbre trouvée à Marcopoulo (Attique). — Ross. *Demen von Attica*, p. IV s. — Rangabé, *Ant. Hell.*, 418. — C.I.A., II, 609. — Cf. Ziebarth, *Griech. Vereinswesen*, p. 182. — De Sanctis, Ἀτθίς, p. 64 s.

Ἐ]παμείνων Ἀμεινίου εἶπεν· Ἐπειδή τι|[ν]ες ἐναντίον τῶι ὅρκωι ὃν ὤμοσαν καὶ τε[ι] | ἀρᾶι ἣν Εἰκαδεὺς ἐπηράσατο διατελ|οῦσι πράττοντες καὶ λέγοντες κατὰ Ε||ἰκαδέων ἐπὶ βλάβει τῶν

[illegible] [illegible] des [illegible] im [illegible] Recht 1908 p. 119.

κοινῶν τῶν | Εἰκαδέων ἀφ' ὧν τὰ ἱερὰ τοῖς θεοῖς θ|ύουσιν Εἰκαδέες, καὶ τοῖς δικαζομέν|οις Εἰκαδεῦσιν συνδικοῦσιν ὑπε|ναντία τοῖς Εἰκαδεῦσιν καὶ μεμαρ||τυρήκασιν ἐπὶ τοῦ δικαστηρίου ἐ|πὶ βλάβει τοῦ κοινοῦ τοῦ Εἰκαδέων | ψευδεῖς μαρτυρίας, ἑλέσθαι τρεῖς | ἄνδρας ἤδη ἐξ Εἰκαδέων οἵτινες | συναγωνιοῦνται τῶι ἐπεσκημμέν||ωι ταῖς μαρτυρίαις Πολυξένωι, ὅπω|ς ἂν δίκην διδῶσιν οἱ τὰ ψευδῆ μαρτ|υροῦντες· ἐπαινέσαι δὲ Πολύξενον | Διοδώρου καὶ στεφανῶσαι χρυσῶι στ|εφάνωι ὅτι δίκαιός ἐστιν περὶ τὰ κοι||νὰ τὰ Εἰκαδέων καὶ ἐπεσκήψατο τοῖς | μάρτυσιν. Ἀναγράψαι δὲ τόδε τὸ ψήφισ|μα τοὺς ἄρχοντας τοὺς ἐφ' Ἡγησίου ἄρ|χοντος εἰς στήλην λιθίνην καὶ στῆσ|αι ἐν τῶι ἱερ[ῶι] τοῦ Ἀπόλλωνος τοῦ Πα||ρνησσίου.

Ligne 24, le marbre porte ΙΕΡΟΥ.

975-78. Athènes. Décrets de thiases du Pirée.

975. (302-300 av. J.-C.) — Plaque de marbre trouvée au Pirée. Στοιχηδόν, sauf le dernier décret. — Foucart, *Bull. de Corr. Hell.*, III (1879), p. 510 s. — Dittenberger, 427. — C.I.A., IV, 2, 611ᵇ (p. 152).

Ἐπὶ Νικοκλέους ἄρχοντος. | Ἔδοξεν τοῖς θιασώταις· Ἐπει[δὴ]| Στέφανος ὁ θωρακοποιὸς ἐπι[με]|λητὴς γενόμενος τῶν κοινῶ[ν πά||ν]των ἐπιμεμέληται τὴν ἐπιμ[έλ]|ειαν ἣν ἔδει αὐτὸν ἐπιμεληθ[ῆν]|αι, καὶ τἆλλα φιλοτιμούμεν[ος δ|ι]ετέλεσεν ὑπὲρ τοῦ κοινοῦ κ[αὶ | τ]ὴν πομπὴν τῶν Ἀδωνίων ἔπεμ[ψε || κ]ατὰ τὰ πάτρια· τύχει ἀγαθῆ[ι, δ]|εδόχθαι τοῖς θιασώταις· ἐπα[ιν|έ]σαι Στέφανον τὸν ἐπιμελητὴ[ν | φ]ιλοτιμίας ἕνεκεν καὶ ἀνδρα[γ|α]θίας τῆς εἰς τὸ κοινὸν τῶν θια||[σ]ωτῶν καὶ στεφανῶσαι θαλλοῦ στ|εφάνωι, δοῦναι δὲ αὐτῶι Δ δραχ(μάς).

Στεφανωθεὶς ὑπὸ τ|οῦ κοινοῦ ἀνέθ|ηκε τὴν Δήμητρα || ὁμόνοιαν τοῦ | κοινô. — | Ἀφροδίτης | οἱ θιασῶται Στέ|φανον Μυλωθρô. ||

Ἐπὶ Κλεάρχου ἄρχοντος. — Ἔδο[ξε]ν] τοῖς θιασώταις· Ἐπειδὴ Στέ[φα]|νος πρότερόν τε ἐπιμελητὴς [γε]|νόμενος καὶ νῦν ἱεροποιὸς λ[αχ]|ὼν μετὰ τῶν ἄλλων συνιεροποι[ῶ]||ν ἀνὴρ ἀγαθὸς γέγονεν καὶ τὰς [θ]|υσίας ἔθυσε τοῖς θεοῖς ἃς πάτ[ρ]|ιον ἦν αὐτοῖς, καὶ τἆλλα ἐπιμε[μ]|έληται ὅσα προσῆκε[ν] αὐτῶι πε[ρ]|ὶ τὴν ἐπιμέλειαν· τύχηι ἀγαθέ[ι], || δεδόχθαι τοῖς θιασώταις· ἐπα[ι]|νέσαι Στέφανον τὸν ἱεροποιὸν | φιλοτιμίας ἕνεκεν καὶ ἀνδρα[γ]|αθίας τῆς εἰς τὸ κοινὸν τῶν θι[α]|σωτῶν, καὶ στεφανῶσαι θαλλοῦ σ[τ]εφάνωι, δοῦναι [δὲ] αὐτῶι Δ δρα(χμάς). — | Ἀ[φροδίτης] | οἱ [θιασῶτ]αι | [Στ]έ[φαν]ο[ν] Μυλωθροῦ. |

Ἐφ' Ἡγεμάχου ἄρχοντος. Ἀγαθεῖ τύχ[ει]· || Σωκλῆς εἶπεν· Ἐπειδὴ Στέφανος ἱερο|ποιὸς γενόμενος εὖ ἐπεμελήθη τῆς θ[υ]|σίας τῆς Ἀφροδίτης· δεδόχθαι τοῖς θι[α]|σώταις· ἐπαινέσαι Στέφανον Μυλωθρ[οῦ] | καὶ στεφανῶσαι θαλλοῦ στεφάνωι, καὶ || δοῦναι αὐτῶι ἀπὸ τοῦ κοινοῦ : ΔΔ : δραχ(μάς) : τὸν | δὲ λαβόντα ἀναθεῖναι ἀνάθημα ἐν | τ[ῶ]ι ἱερῶι ἐπιγράψαντα τόδε τὸ ψήφισ|μα, ὅπως ἂν ὦσι πολλοὶ οἱ φιλοτιμούμε|νοι, εἰδότες ὅτι ἐπίστανται χάριτας ἀ||ποδιδόναι οἱ θιασῶται. —

Les lignes 16-21 sont coupées en deux et disposées de chaque côté d'un espace vide destiné sans doute à recevoir une couronne et le nom de Stéphanos. — Le marbre porte, ligne 51, à la fin, ΤΟΙ.

976. (300 av. J.-C.). — Plaque de marbre pentélique trouvée au Pirée, actuellement au musée de la ville. Στοιχηδόν. — Rousopoulos, *Arch. Anz.*, 1865, p. 105 s. — Foucart, *Associations religieuses*, nº 30. — C.I.A., II, 611.

Ἐ|πὶ Ἡγεμάχου ἄρχοντος· μηνὸς Πυαν|οψιῶνος πέμπτει ἱσταμένου· ἀγορὰ | κυρία τῶν θιασωτῶν. Ἔδο[ξ]εν τοῖς θι|ασώταις. Κλέων Λεωκράτου Σαλαμίν||ι[ο]ς εἶπεν· Ἐπειδὴ Δημήτριος γραμμ|ατεὺς αἱρεθεὶς ὑπὸ τῶν θιασωτῶν ἐ|πὶ Κλεάρχου ἄρχοντος, καλῶς καὶ δι|καίως ἐπεμ[ε]λήθη τῶν κοινῶν πάντω|ν καὶ τοὺς λογισμοὺς ἀπέδωκεν ὀρθ||[ῶ]ς καὶ δικαίως καὶ εὐθύνας ἔδωκεν | ὧν τε αὐτὸς ἐκυρίευσεν καὶ τὰ πρὸς | τοὺς ἄλλους ἐξελογίσατο ὅσοι τι τ|ῶν κοινῶν διεχείρισαν, καὶ νῦν δια|τελεῖ τὰ συνφέροντα πράττων καὶ λ||έγων ὑπὲρ τῶν θιασωτῶν καὶ κοινῆι | καὶ ἰδίαι ὑπὲρ ἑκάστου, καὶ ψηφισα|μένων τῶν θιασωτῶν μισθὸν αὐτῶι δ|ίδοσθαι ἐκ τοῦ κοινοῦ καὶ τοῦτον ἐ|πέδωκε τοῖς θιασώταις· ἀγαθῆι τύχ||ηι, δεδόχθαι τοῖς θιασώταις· ἐπαιν|έσαι Δημήτριον Σωσάνδρου Ὀλύνθι|ον ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ἧ|ς ἔχων διατελεῖ πρὸς τὸ κοινὸν τῶν | θιασωτῶν καὶ στεφανῶσαι αὐτὸν ἀν||αθήματι ἀπὸ :𐅄: δραχμῶν· τὸ δὲ ἀνάθ|ημα ἀναθεῖναι ἐν τῶι ἱερῶι, οὗ ἂν βο|ύληται, αἰτήσας τοὺς θιασώτας, ὅπω|ς ἂν καὶ οἱ ἄλλοι φιλοτιμῶνται εἰς | τοὺς θιασώτας, εἰδότες ὅτι χάριτα||ς ἀπολήψονται παρὰ τῶν θιασωτῶν ἀ|ξίας τῶν εὐεργετημάτων. Τὸν δὲ ταμ|ίαν τὸν ἐπὶ Ἡ[γ]εμάχου ἄρχοντος δοῦ|ναι τὸ ἀργύριον εἰς τὸ ἀνάθημα καὶ || ἐπιμεληθῆναι τοῦ ἀναθήματος ὅπω||ς ἂν τὴν ταχίστην συντελεσθεῖ. Στε|φανῶσαι δὲ αὐτὸν καὶ θαλλοῦ στεφά|νωι ἤδη, ἀναγορεύειν δὲ τόνδε τὸν σ|τέφανον τοὺς ἱεροπο[ι]οὺς τοὺς ἀεὶ | λαγχάνοντας ἱεροποεῖν μετὰ τὰς σ||πονδὰς ὅτι στεφανοῖ τὸ κοινὸν τῶι|δε τῶι στεφάνωι Δημήτριον ἀρετῆς | ἕνεκα καὶ εὐνοίας ἧς ἔχων διατε-

λε|ῖ εἰς τοὺς θιασώτας· ἐὰν δὲ μὴ ἀναγο|ρεύσωσι, ἀποτινέτωσαν τῶι κοινῶι 𐅄 : δραχμάς. Ἀναγράψαι δὲ τόδε τὸ ψή|φισμα πρὸς τῶι ἀναθήματι. — |

Οἱ θιασῶται | Δημήτριον | Ὀλύνθιον.

Le marbre porte, l. 3, ΕΔΟΖΕΝ; ll. 4/5, ΣΑΛΑΜΙΝΙΑΣ; l. 8, ΕΠΕΜΗΛΗΘΗ; l. 32, ΗΠΕΜΑΧΟΥ; l. 38, ΙΕΡΟΠΟΥΟΥΣ.

977. (298/97 av. J.-C.) — Plaque de marbre bleuâtre, trouvée au Pirée. — Foucart, *Rev. Archéol.*, 1864, II, p. 399 s. (trad.) — Le même, *Associations religieuses*, nº 26 (cf. p. 105 s.). — C.I.A., II, 613.

-----οκλῆς εἶπεν· Ἐπειδὴ Μῆνις | [Μνησιθέου διατελεῖ] εὔνους ὢν τοῖς θιασώταις καὶ φιλο||[τιμούμενος π]ερὶ τὸ ἱερόν, καὶ νῦν αἱρεθεὶς ταμίας ἐπ||ὶ Εὐκτήμ]ονος ἄρχοντος, καλῶς καὶ φιλοτίμως πάσ||[ας τὰς] ἐπιμελείας ὑπέστη καὶ τό τε πρόστωιον καὶ | [τ]ὸ ἀέτωμα τοῦ ἱεροῦ τοῦ Διὸς τοῦ Λαβραύνδου ἐπε|τέλεσεν ἀξίως τοῦ θεοῦ καὶ τὰ κοινὰ καλῶς καὶ δικαί|ως διεχείρισεν, ἀνένκλητον παρέχων ἑαυτὸν πᾶσ|ι τοῖς θιασώταις ἔκ τε τῶν πρότερον χρόνων καὶ ἀφ' οὗ ε||ἰς τὴν ἐπιμέλειαν τῆς ταμιείας εἰσῆλθεν, καὶ ἐκ τῶν ἰ|δίων ἑαυτοῦ προσανήλωσεν ἀργύριον ἀπροφασί|στως εἰς τὸ ἱερόν, φανερὰν ποιούμενος τὴν εὔνοιαν ἣ|ν ἔχει εἰς τοὺς θιασώτας καὶ τὴν ἱερωσύνην ἀξίως ἱερε|ώσατο τοῦ θεοῦ· ὑπὲρ οὖν τούτων ἁπάντων· δεδόχθαι το||ῖς θιασώταις· ἐπαινέσαι Μῆνιν Μνησιθέου Ἡρακλεώτην | καὶ στεφανῶσαι αὐτὸν θαλλοῦ στεφάνωι· ἀναθεῖναι | δ' αὐτοῦ καὶ εἰκόνα τοῦ ἱεροῦ οὗ ἂν ἐι κάλλιστον, γράψαν|τας ἐν πίνακι κατὰ τὸν νόμον, ὅπως ἂν ἐι πᾶσιν φαν|ερὸν τοῖς βουλομένοις φιλοτι<με>μεῖσθαι περὶ τὸ ἱερὸν, ὅτι (τι)μηθήσονται κατ' ἀξίαν, ἕκαστος ὧν ἂν εὐεργετή|σει τοὺς θιασώτας. Ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα ἐν | στήλει λιθίνει καὶ στῆσαι ἐν τῶι ἱερῶι τοῦ θεοῦ. —

Couronne.

978. (281/80 av. J.-C.) — Plaque de marbre pentélique trouvée dans les ruines du Métroon du Pirée, actuellement au musée d'Athènes. Στοιχηδόν. — Papasliotis, *Arch. Anz.*, 1855, p. 83. — Foucart, *Associations religieuses*, p. 205 (nºs 22, 23). — C.I.A., II, 614. — Cf. C.I.A., IV, 2, p. 153. — Nous avons revu le texte sur un estampage que nous devons à l'obligeance de M. Ad. Wilhelm.

Ἐπὶ Οὐρί[ου ἄρχοντος, [μη]νὸς Ἀνθεστηριῶ[νος. | Κεφ]αλίων Ἡρακλεώτης εἶπεν· Ἐπειδὴ Σ|[ωτ]ήριχος Τροζήνιος ἔν τε τῶι ἔμπροσ|[θε]ν χρόνωι διατελεῖ φιλοτιμούμενο [ς π]ρὸς τοὺς θιασώτας καὶ αἱρεθεὶς ὑπ'[ὸ τ]ῶν θιασωτῶν ἐπὶ Νικίου ἄρχοντος κ|[αλ]ῶς καὶ [φ]ιλοτίμως ὑπὲρ τοῦ οἴκου ἐπ [ιμ]εμέληται τῆς οἰκο-

δομίας· — ἀγαθεῖ | [τ]ύχει, δεδόχθαι τοῖς θιασώταις· ἐπαι||[ν]έσαι Σωτήριχον Τροζήνιον εὐνοίας | [ἕ]νεκα καὶ φιλοτιμίας τῆς εἰς τοὺς θι|[α]σώτας καὶ στεφανῶσαι αὐτὸν θαλλοῦ | [σ]τεφάνωι καὶ τὸν ἱερέα τὸν ἀεὶ λαχόν||[τ]α καὶ ὄντα ὅταν θύσωσιν οἱ θιασῶται || [κ]αὶ σπονδὰς ποιήσωνται, στεφανούτω | [ὁ] ἱερεὺς Σωτήριχον θαλλοῦ στεφάνωι | καὶ ἀνειπάτω φιλοτιμίας ἕνεκα τῆς ε|[ἰ]ς τοὺς θιασώτας, ὅπως ἂν φανερὸν ἐι π|[ᾶ]σι τοῖς θιασώταις τοῖς βουλομένοι ς φιλοτιμεῖσθαι εἰ[ς] τὸ κοινὸν τῶν θι ασω<ν>-τῶν. — Ἐὰν δὲ ὁ ἱερεὺς μὴ στεφανώσ|ει ἢ μὴ ἀνείπει καθάπερ γέγραπται, ἀπ οτινέτω |Γ| δραχμὰς παραχρῆμα ἱερὰς τ |ε̣|ι Μητρὶ τῶν θεῶν· ἡ δ᾽ εἴσπραξις ἔστω τ||[ο]ῖς θιασώταις καθάπερ καὶ τὰ ἄλλα ὀφε|ιλήματα. Ἀναγράψαι δὲ τόδε τὸ ψήφισμ|α εἰς στήλην. — |

[Λ]εύκων εἶπεν· Ἐπειδὴ Κε[φ]αλίων Ἡρακλ εώτης, ἱερεὺς λαχὼν ἐπὶ Νικίου ἄρχον|τος, μηνὸς Βοηδρομιῶνος, καλῶς καὶ φι|λοτίμως ἐπιμεμέληται τοῦ τε ἱεροῦ τῆς | Μητρὸς τῶν θεῶν [κ]αὶ τῶν θιασ[ω]τῶν· — ἀγ|αθεῖ τύχει, δεδόχθαι τοῖς θιασώτα[ις]· | ἐπαινέσαι Κεφαλίωνα καὶ στ[εφανῶσαι α]||ὐτὸν θαλλοῦ στεφ[άνωι - - - - - - - - | - - -]ιο- - - - -

Le marbre porte, ligne 7, au début, ΩΣΚΑΙΙΙΛΟ; ligne 23, Γ; ligne 28, ΚΕΙΑΛΙΩΝ.

979-85. Athènes. Loi et décrets des orgéons du Pirée.

979. (2e moitié du ive s. av. J.-C.) — Plaque de marbre pentélique brisée en haut et en bas. Trouvée au Pirée. — Koumanoudis, Ἀθήναιον, I (1872), p 14. — Foucart, *Associations religieuses*, n° 2 (cf. p. 12 s. et 20 s.). — C.I.A., II, 610.

- - -ναικε- - - -ε- - - -ας ὁπόσοι ἐν τῆ[ι στή]λ|ηι ἐγ[γεγρα]μμένοι εἰσὶν ἢ το[ὺς τ]ούτων ἐκγόνους. — Ἐὰν δέ τις θύηι | τῆι θεῶι τῶν ὀργεώνων οἷς μέτεστιν τοῦ ἱεροῦ ἀτελεῖς αὐτοὺς θύειν· | [ἐ]ὰν δὲ ἰδιώτης τις θύηι τῆι θεῶι διδόναι τῆι ἱερέαι γαλαθηνοῦ μὲν :ΙC: || [κ]αὶ τὸ δέρμα καὶ κωλῆν διανε[κ]ῆ δεξιάν, τοῦ δὲ τελέου :ΙΙΙ: καὶ δέρμα καὶ | [κ]ωλῆν κατὰ ταὐτά, βοὸς δὲ :Ι[C]: καὶ τὸ δέρμα· διδόναι δὲ τὰ ἱερώσυνα τῶ|[ν μὲ]ν θηλ[ε]ιῶν τῆι ἱερέαι, τῶν δὲ ἀρρένων τῶι ἱερεῖ· παραβώμια δὲ μὴ | [θύ]ειν [μ]ηδέ[ν]α ἐν τῶι ἱερῶ[ι ἢ] ὀφείλε[ι]ν :Ꮁ: δραχμάς. — Ὅπως δ᾽ ἂν ἡ οἰκία καὶ | [τ]ὸ ἱερὸν ἐπισκε[υ]άζηται, τὸ ἐν[οίκιον τῆ]ς οἰ[κίας] καὶ τὸ ὕδωρ ὅσου ἂμ πραθῆι ε||[ἰς τὴν ἐ]πισκευὴν τοῦ ἱεροῦ [καὶ τῆς] οἰκίας, εἰς ἄλλο δὲ μηδὲν ἀναλίσκειν, ἕ|[ω]ς ἂν τ[ὸ ἱερὸ]ν ἐπισκευ[ασ]θῆι κ[αὶ ἡ οἰκία], ἐὰν μή τι ἄλλο ψηφίσωνται οἱ ὀργεῶνε[ς] | δαπα[ν]ᾶν εἰς τὸ ἱερόν. — Ὑπολι[μπά]νειν δὲ

ὕδωρ τῶι ἐνοικοῦντι ὥστε χρῆσθ[αι. | Ἐὰ]ν δ[έ τι]ς [ε]ἴπ[ηι] ἢ ἐπιψηφίσηι παρὰ τόνδε τὸν νόμον, ὀφειλέτω : 𐅃 : δραχμὰς τῆι | θεῶι ὅ τ[ε εἰπὼν καὶ] ὁ ἐπιψηφίσας καὶ μὴ μετέστω αὐτῶι τῶν κοινῶν· ἀναγράφειν δὲ || [αὐτὸν ὀφείλο]ντα τῆι θεῶι τοῦτο τὸ ἀργύριον εἰς τὴν στήλην τοὺς ἐπιμελητάς. | Ἀγορὰν [δὲ] καὶ ξύ[λλ]ογον ποεῖν τοὺς ἐπιμελητὰς καὶ τοὺς ἱεροποιοὺς ἐν τῶι ἱερ|[ῶ]ι περὶ τῶν κοινῶν τῆι δευτέραι ἱσταμένου τοῦ μηνὸς ἑκάστου. — Διδόναι δὲ | [τοῖς ἱ]εροποιοῖς εἰς τὴν θυσίαν : ⊢⊢ : δραχμὰς ἕκαστον τῶν ὀργεώνων οἷς μέτεστι | [το]ῦ [ἱ]εροῦ τοῦ Θαργηλιῶνος πρὸ τῆς ἕκτης ἐπὶ δέκα, ὃς δ' ἂν ἐπιδημῶν Ἀθήνη||[σ]ι καὶ ὑγιαίνων μὴ συνβάλληται, ὀφειλέτω : ⊢⊢ : ἱερὰς τῆι θεῶι. — Ὅπως δ' ἂν ὠ|[ς πλ]εῖστοι ὦσιν ὀργεῶνες τοῦ ἱεροῦ ἐξεῖναι τῶι βουλομένωι εἰσενέγκαντι | [- δρ]αχμὰς μετεῖναι αὐτῶι τοῦ ἱεροῦ καὶ εἰς τὴν στήλην ἐγγράφεσθαι· τ[οὺς | δ' ἐγγεγραμ]μένους εἰς τὴν στήλην δο[κι]μ[ά]ζειν τοὺς ὀργεῶνας καὶ παρ[α-|--------------------------- το]ῦ Θαργ[ηλι||ῶνος ------

980. (329/28 av. J.-C.) — Stèle de marbre pentélique ornée d'un bas-relief. Trouvée au Pirée, actuellement dans la collection Jacobsen, à Ny-Carlsberg (Copenhague). Στοιχηδόν. — C.I.A., IV, 2, 573b (p. 298). — Hartwig, *Bendis*, Leipzig, 1897, p. 6.

Θεοί. | Φιλοκράτης — εἶπεν· Ἐπειδὴ Εὐφύης κα|ὶ Δέξιος, γενόμενοι ἐπιμεληταὶ τοῦ ἱε|ροῦ ἐπὶ Κηφισοφῶντος ἄρχοντος, καλως καὶ φιλοτίμως ἐπεμελήθησαν καὶ ἀξίω|ς τῆς θεοῦ καὶ τῶν ὀργεώνων· δεδόχθαι τ|οῖς ὀργεῶσιν· στεφανῶσαι Εὐφύη καὶ Δέ|ξιον δικαιοσύνης καὶ ἐπιμελείας ἕνε|κα χρυσῶι στεφάνωι ἑκάτερον ἀπὸ : Η : δρα|χμῶν, καὶ ἀναγράψαι τόδε τὸ ψήφισμα ἐν || στήλει λιθίνει καὶ στῆσαι ἐν τῶι ἱερ[ῶ]|ι τῆς θεοῦ. —

Couronne. Couronne.

981. (219/18 av. J.-C.) — Stèle de marbre pentélique trouvée aux Moulins du Pirée, actuellement au musée de la ville. — Foucart, *Associations religieuses*, p. 195 (nº 7). — C.I.A., II, 619.

Θεοί. | Ἐπὶ Ἡρακλείτου ἄρχοντος· Μουνιχιῶνος | ἀγορᾶι κυρίαι· — Παράμονος Παρμενίσκου | Ἐπιεικίδης εἶπεν· Ἐπειδὴ Γλαῦκον, ἱέ||ρεια λαχοῦσα εἰς τὸν ἐνιαυτὸν τὸν ἐπὶ | Εὐφιλήτου ἄρχοντος καλῶς καὶ εὐσεβῶς | τὴν ἱερωσύνην ἐξήγαγεν καὶ τὰ λοιπὰ | ἐφιλοτιμήθη ὅσα προσῆκεν τεῖ θεῶι, | ὅπως ἂν οὖν καὶ οἱ ὀργεῶνες φαίνωνται || χάριν ἀποδιδόντες ταῖς φιλοτιμουμέ|ναις τῶν λαγχανουσῶν ἱερειῶν εἴς τε | τὴν θεὸν καὶ εἰς τὸ κοινὸν

τῶν ὀργεώνων· | ἀγαθεῖ τύχει, δεδόχθαι τοῖς ὀργεῶσιν· | ἐπαινέσαι τὴν ἱέρειαν Γλαῦκον καὶ | στεφανῶσαι θαλλοῦ στεφάνωι εὐσε|βείας ἕνεκεν τῆς εἰς τὴν θεὸν καὶ φιλο|τιμίας τῆς εἰς ἑαυτούς· — ἀναθεῖναι δὲ | αὐτῆς καὶ εἰκόνα ἐν τῶι ναῶι· στεφανοῦν | δὲ καὶ εἰς τὸν ἔπειτα χρόνον κατ' ἐνιαυ||τὸν καθ' ἑκάστην θυσίαν καὶ ἀναγορεύειν | τὸν στέφανον αὐτῆς τοὺς ἐπιμελητάς. Ἀνα|[γ]ράψαι δὲ τόδε τὸ ψήφισμα τοὺς ὀργεῶνας | ἐν στήλει λιθίνει καὶ στῆσαι ἐν τῶι τεμέ|νει [τῆς θεο]ῦ. — ||

Οἱ ὀργεῶνες | τὴν ἱέρειαν | Γλαῦκον.

982. (217/16 av. J.-C.) — Plaque de marbre de l'Hymette surmontée d'un fronton. Trouvée au Pirée, actuellement au musée d'Athènes. — Foucart, *Associations religieuses*, n° 8. — C.I.A., II, 622. — Nous avons revu le texte sur un estampage que nous devons à l'obligeance de M. Ad Wilhelm.

Θεοί. | Ἀγαθεῖ τύχει. Ἐπὶ Αἴσχρωνος ἄρχον|τος· Μουνιχιῶνος ἀγορᾶι κυρίαι· Διο|νυσόδωρος Ζωπύρου Ἀλωπεκῆθεν εἶ||πεν· Ἐπειδὴ Κράτεια, ἱέρεια λαχοῦσα | εἰς τὸν ἐνιαυτὸν τὸν ἐπὶ Αἴσχρωνος, τά | τε εἰσιτητήρια ἔθυσεν καὶ τὰς λοιπὰς | θυσίας τὰς καθῆκεν θύειν ὑπὲρ τοῦ | κοινοῦ, — ἔστρωσεν δὲ καὶ κλίνην εἰς || ἀμφότερα τὰ Ἀττίδεια, καὶ τὰ λοιπὰ πα|ρεσκεύασεν καλῶς καὶ ἱεροπρεπῶς, ο[ὐ]||θὲν ἐνλείπουσα φιλοτιμίας καὶ τὸν ἐ|νιαυτὸν καλῶς καὶ εὐσεβῶς διετέλε|σεν θεραπεύουσα τὰς θεὰς καὶ ἀνοίγου||σα τὸ ἱερὸν ἐν ταῖς καθηκούσαις ἡμέ ραις. — Ὅπως ἂν οὖν καὶ οἱ ὀργεῶνες φαί|νωνται χάριν ἀποδιδόντες τοῖς φιλοτ[ι]|μουμένοις εἴς τε τὰς θεὰς καὶ εἰς ἑ[αυ]τούς· | ἀγαθεῖ τύχει, δ[ε]δόχθαι τοῖς ὀργεῶσιν· | ἐπαινέσαι Κράτειαν καὶ στεφανῶσαι | θαλλοῦ στεφάνωι, εὐσεβείας ἕνεκεν | τῆς εἰς τὰς θεὰς καὶ φιλοτιμίας τῆς εἰς | <εἰς> ἑαυτούς· στεφανοῦν δὲ καὶ εἰς τὸν ἔ|πειτα χρόνον ταῖς θυσίαις καὶ ἀναγο ρεύειν τὸν στέφανον αὐτῆς. — Ἀναγρά|ψαι δὲ τόδε τὸ ψήφισμα τοὺς ὀργεῶνας | ἐν στήλει λιθίνει καὶ στῆσαι [π]ρὸ τοῦ | ναοῦ. — |

Οἱ ὀργε||ῶνες τὴν | ἱέρειαν | Κράτειαν. Ἡ ἱέρεια || Κράτεια | Ἱερώνυμον.

983. (IIIe s. av. J.-C.) — Plaque de marbre de l'Hymette trouvée au Pirée. Στοιχηδόν. — Foucart, *Bull. de Corr. Hell.*, VII (1883), p. 69 s. — C.I.A., IV, 2, 620b (p. 166).

Deux couronnes portant la même inscription : Οἱ θιασῶται | Ἀγάθωνα | καὶ τὴν γυναῖκα | αὐτοῦ Ζεύξιον.

Ἐπὶ Λυσιθείδου ἄρχοντος· μηνὸς Ἑκατομβαιῶνος. Σ|ωκλῆς εἶπεν· Ἐπειδὴ Ἀγάθων Ἀγαθοκλέους καὶ Ζεύξ|ιον ἡ γυνὴ αὐτοῦ

ἡ ἱέρεια [κα]τ[α]σταθέντες ὑπὸ το[ῦ κ]|οινοῦ καλῶς καὶ φιλοτίμως ἐπεμελήθησαν [τῆς] ἱε[ρ]ει[ωσ]ύνης καὶ τοῦ ἱεροῦ, ἐπεμελήθησαν δὲ καὶ τῶν [ὀ]ργεώ]νων ἐ[κ] τῶν ἰδίων ἀναλωμάτων, ἀπέφησαν [δὲ τῶι] | κοινῶι καὶ τὰ ἀναθήματα τὰ ἐφ' ἑαυτῶν ἀνατεθέντ[α ὀ]ρθῶς καὶ δικαίως· ἀπέδωκ[α]ν [δ]ὲ κα[ὶ τ]ὴν π[ρόσοδο]ν [τὴ]ν γ]ε[ν]ομένην ἐφ' αὐτῶν [δικ]αίως· ἀγαθῆι τύχηι, [δεδόχ]θαι το[ῖς] ὀργεῶσιν· ἐ[παι]ν[έσαι Ἀγά]θω[να ...]έ[α καὶ τ]ὴ]ν γυναῖκα αὐτοῦ Ζε[ύξιον τ]ὴν ἱέρειαν καὶ στεφ[αν]ῶσαι] χρυσῶι στεφάνωι ἑκάτερον αὐτῶν ἀρετῆς ἕνεκεν κ[αὶ δ]ικ]α[ι]οσύνης ἣν ἔχοντες διατελοῦσιν περί τε τὴν [θ]|εὸν καὶ περὶ τὸ κοινὸν τῶν ὀργεώνων, ἵνα εἰδῶ[σιν π]|ά]ντες ὅτι χάριτας ἀποδιδόασι οἱ ὀργεῶνες τοῖς [ε]ἰς αὐ]τοὺς φιλοτιμουμένοις. Ἀναγ[ράψαι δ]ὲ τ[όδ]ε [τὸ | ψήφισμα] εἰς στήλην λιθίνην καὶ στῆσαι ἐν τῶι [ἱ]ερ[ῶι]· τ[ῆς δ]ὲ [ἀνα]γραφῆς ἐπιμεληθῆναι τὸν ταμίαν κ[αὶ] | το[ὺς ἐπιμ]ε[λη]τάς· μ[ε]ρί[σ]αι [δ]ὲ τὸν ταμίαν ἀπὸ τ[οῦ κο]|ι]νοῦ ε[ἰς τὴν ἀνα]γραφὴν τῆς στήλης [δ]ρ[αχ]μὰ[ς -. —

Deux couronnes portant la même inscription : Οἱ θιασῶται | Ἀγάθωνα | καὶ τὴν γυναῖκα | αὐτοῦ Ζεύξιον.

Le marbre porte, ligne 8, ΑΠΕΔΩΚΕΝ.

984. (Comm. du IIe s. av. J.-C.) — Stèle en marbre de l'Hymette trouvée au Pirée, actuellement au musée d'Athènes. — Papasliotis, *Arch. Anz.*, 1855, p. 83. — Foucart, *Associations religieuses*, p. 193 (nº 6). — *Philologus*, X, p. 293. — C.I.A., II, 621. — Nous avons revu le texte sur un estampage que nous devons à l'obligeance de M. Ad. Wilhelm.

Θεοί. | [Ἐ]πὶ Φίλωνος ἄρχοντος· Μουνιχιῶνος ἀγορᾶι κυρίαι· | [ἀγ]αθεῖ τύχει· Εὐκτήμων Εὐμαρίδου Στειριεὺς εἶπεν· | [Ἐπ]ειδὴ Ἑρμαῖος Ἑρμογένου Παιονίδης, ταμίας γενό|μενος πλείω ἔτη, εἴς τε τοὺς θεοὺς εὐσεβῶς διατελ[εῖ] | καὶ κοινεῖ τοῖς ὀργεῶσιν καὶ ἰδίαι ἑκάστωι εὔχρησ|τον αὐτὸν παρασκευάζων καὶ φιλοτιμούμενος τάς | τε θυσίας τοῖς θεοῖς θύεσθαι τὰς καθηκούσας, | καὶ εἰς ταῦτα προεὶς εὐπορῶν πλεονάκις ἐκ τῶν ἰ|δίων καί τισιν τῶν ἀπογεγονότων, οὐχ ὑπάρχοντος | ἀργυρίου τῶι κοινῶι, προϊέμενος εἰς τὴν ταφὴν τοῦ | εὐσχημονεῖν αὐτοὺς καὶ τετελευτηκότας, καὶ | εἰς τὰς ἐπισκευὰς δὲ προαναλίσκων, καὶ τοῦ ἐρά|νου τοῦ ἀργυρήρου ἀρχηγὸς γενόμενος συναχθῆ|ναι, καὶ τὰ ἄριστα συνβουλεύων καὶ λέγων διατελεῖ | καὶ ἐμ πᾶσιν εὔνουν ἑαυτὸν παρασκευάζων· ἀγαθεῖ | τύχει, δεδόχθαι τοῖς ὀργεῶσιν· ἐπαινέσαι Ἑρμαῖον | Ἑρμογένου Παιονίδην καὶ στεφανῶσαι ἀρετῆς | ἕνεκεν καὶ εὐσε<ν>βείας τῆς πρὸς τοὺς

θεοὺς || καὶ κοινεῖ πρὸς τοὺς ὀργεῶνας, ὅπως ἂν ἐφάμιλλον ἐ͂ι | καὶ τοῖς λοιποῖς τοῖς βουλομένοις φιλοτιμεῖσθαι | εἰδότας ὅτι χάριτας ἀξίας κομιοῦνται | ὧν ἂν εὐεργετήσωσιν τὸ κοινὸν τῶν ὀργεώνων· | ἀναθεῖναι δὲ αὐτοῦ καὶ εἰκόνα ἐμ πίνακι ἐν τῶι || ναῶι καὶ στεφανοῦν καθ᾽ ἑκάστην θυσίαν αὐτόν. | [᾽Ανα|γράψαι δὲ τόδε τὸ ψήφισμα ἐν στήλει λιθίνει | [τοὺς] ἐπιμελητὰς καὶ στῆσαι ἐν τῶι Μητρώιωι. Τὸ δὲ | ἀνάλωμα τό τε εἰς τὸν πίνακα γενόμενον καὶ εἰς | τὴν στήλην μερίσαι ἐκ τοῦ κοινοῦ. — ||

᾽Επὶ ἐπιμελητῶν | Νέωνος Χολαργέως | Σίμωνος Πορίου ᾽Εργασίωνος.

985. (180/79 av. J.-C.) — Plaque de marbre trouvée au Pirée. — Meletopoulos-Koumanoudis, Ἀθήναιον, VIII (1879), p. 294. — Bursian, *Sitzungsber. der bayer. Akad.*, 1879, p. 108. — Schäfer, *Jarb. f. Philol.*, 1880, p. 423. — C.I.A., IV, 2, 624b (p. 170).

᾽Αγαθεῖ τύχει. ᾽Επὶ Σωνίκου ἄρχοντος· Μουνι|χιῶνος ἀγορᾶι κυρίαι. ᾽Ονησίκριτος Διοκλέ|ους Πειραιεὺς εἶπεν· ᾽Επειδὴ Χαιρέας εὔνους ὢν | διατελεῖ ἐν παντὶ καιρῶι τοῖς ὀργεῶσιν, κατα||σταθεὶς δὲ καὶ γραμματεὺς ὑπ᾽ αὐτῶν ἀπὸ | Θεοξένου ἄρχοντος οὐδὲν ἐλλέλοιπεν φιλο|τιμίας συναύξων τε διατετέλεκεν τοῖς ὀρ|γεῶσιν τὴν σύνοδον, πεφρόντικεν δὲ καὶ θερα|πήας τοῦ ἱεροῦ πλεονάκις, οὐκ ἀπολέλιπται δὲ || οὐδ᾽ ἐν ἐπιδόσει οὐδεμίαι, εἰσήνενκεν δὲ καὶ | ψηφίσματα ἐπὶ τῶι συνφέροντι ἵνα συνσταλῶ|σιν αἱ λίαν ἄκαιροι δαπάναι, ἐφρόντισεν δὲ τοῦ καὶ | τοὺς δημοτικοὺς μετέχειν τῶν δεδομένων ὑπὸ | τῶν ὀργεώνων φιλανθρώπων, διατετέλεκεν δὲ καὶ || συνλειτουργῶν ἐν τοῖς ἀγερμοῖς καὶ ταῖς στρώσε|σιν ταῖς ἱερήαις, προευχρήστηκεν δὲ καὶ διάφορον | πλεονάκις ἄτοκον ἀποδημοῦντος τοῦ ταμίου, ἐπαγ|γέλλεται δὲ καὶ εἰς τὸν λοιπὸν χρόνον συνφρουτι|εῖν εἰς ὃ ἂν αὐτὸν παρακαλῶσιν οἱ ὀργεῶνες· ἵνα οὖν || ἐφάμιλλον ἧ τοῖς ἀεὶ φιλοτιμουμένοις, εἰδότες | ὅτι χάριτας ἀξίας κομιοῦνται ὧν ἂν εὐεργετήσω|σιν· — ἀγαθεῖ τύχει, δεδόχθαι τοῖς ὀργεῶσιν· ἐπαι|νέσαι Χαιρέαν Διονυσίου ᾽Αθμονέα καὶ στεφανῶ|σαι αὐτὸν θαλλοῦ στεφάνωι ἀρετῆς ἕνεκεν καὶ || εὐσεβήας εἴς τε τὰς θεὰς καὶ τοὺς ὀργεῶνας καὶ | ἀναγορεύειν τὸν στέφανον τῇ θυσίαι τοῦ Μουνιχι|ῶνος ὅταν καὶ τὰς ἱερείας· δοῦναι δὲ αὐτῷ καὶ ἰκό|νος ἀνάθεσιν ἐν τῶι ναῶι. ᾽Αναγράψαι δὲ τόδε τὸ ψήφι|σμα εἰς στήλην λιθίνην καὶ στῆσαι ἐν τεῖ αὐλεῖ || — τοῦ ἱεροῦ. — |

Couronne :

Οἱ ὀργεῶνες | Χαιρέαν | Διονυσίου | ᾽Αθμονέα.

986-7. Athènes. Décrets des Dionysiastes du Pirée. (1re moitié du IIe s. av. J.-C.)

986. — Plaque de marbre pentélique trouvée près du Pirée. — Dragatsis, Ἐφημ. Ἀρχ., 1884, p. 45 s. — C.I.A., IV, 2, 623e (p. 169). — Cf. Kœhler, *Athen. Mitth.*, IX (1884), p. 288 s.

Θεοί. | Ἀγαθεῖ τύχει. Ἐπὶ Ἱππάκου ἄρχοντος· Ποσιδεῶ|νος ἀγορᾶι κυριᾶι. Σόλων Ἑρμογένου Χολαργεὺς | εἶπεν· Ἐπειδὴ συμβέβηκεν Διονυσίωι μεταλλά||ξαι τὸν βίον ἀποδεδειγμένωι ἐμ πολλοῖς ἣν ἔ|χων εὔνοιαν διετέλει πρὸς ἅπαντας τοὺς τὴν | σύνοδον φέροντας τῶι θεῶι, αἰεί τινος ἀγαθοῦ πει[ρ]ώμενος παραίτιος γίνεσθαι καὶ ἰδίαι καὶ κοινεῖ | [φ]ιλάγαθος ὢ[ν] ἐμ πάντι καιρῶι· ὃς γοῦν προτι||μηθεὶς ὑπὸ τῶν Διονυσιαστῶν καὶ λαβὼν τὴν ἱε|ρεωσύνην τοῦ θεοῦ καὶ κατασταθεὶς ταμίας τάς | τε κοινὰς προσόδους ἐπηύξησεν ἐκ τῶν ἰδίων | ἐπιδοὺς αὐτοῖς ἀργυρίου χιλίας δραχμὰς καὶ τό|πον (παρεσκεύασεν) μετὰ τῆς ἄλλης χορηγίας πάσης εἰς ὃν συν||ιόντες θύσο[υ]σιν κατὰ μῆνα ἕκαστον τῶι θεῶι κα|τὰ τὰ πάτρια, ἐπέδωκεν δὲ καὶ ἄλλας ἀργυρίου | πεντακοσίας δραχμάς, ἀφ᾽ ὧν κατεσκευάσατο τὸ | ἄγαλμα τοῦ Διονύσου τοῖς ὀργεῶσιν καὶ προσιδρύ|σατο κατὰ τὴν μαντείαν τοῦ θεοῦ, καὶ περὶ ἁπάντων || τούτων ὑπά[ρ]χουσιν αἱ ἀποδείξεις ὑπὲρ τἀνδρὸς σα|φεῖς διὰ τῶν χρηματισμῶν εἰς τὸν ἅπαντα χρόνον· | ἀνθ᾽ ὧν ἐπιγνόντες οἱ Διονυσιασταὶ ἐτίμησαν | αὐτὸν ἄξιο[ν] ὄντα καὶ ἐστεφάνωσαν κατὰ τὸν | νόμον· ἵνα ο[ὖ]ν φαίνωνται οἱ τὴν σύνοδον φέρον||τες μεμνη[μ]ένοι αὐτοῦ καὶ ζῶντος καὶ μετηλλα|[χότος] τὸν β[ίο]ν τῆς πρὸς αὐτοὺς μεγαλοψυχίας | καὶ εὐ[νοίας κα]ὶ ἀντὶ τούτων φανεροὶ ὦσιν τιμῶν|τες τοὺς ἐξ [ἐκ]είνου γεγονότας, ἐπειδὴ συμβαί|νει διαδόχους [αὐτ]ὸν [κα]ταλελοιπέναι πάντων || τῶν ἐν δόξ[ε]ι καὶ τιμεῖ αὐτῶι ὑ[παρχ]όντων, περὶ ὧν | καὶ ὁ νόμος τῶν ὀργεώνων καλεῖ πρῶτ[ον ἐ]πὶ [ταῦ]|τα τὸν πρεσβύτατον τῶν ὑῶν, καθὼς καὶ προεισ[ῆ]||κται ἐπὶ τὴν χώραν τἀδελφοῦ Καλλικράτου ζῶν|τος τοῦ πατρός· δεδόχθαι τοῖς ὀργεῶσιν· τὴν ἱερεω||[σύ]νην τοῦ Διονύσου δεδόσθαι Ἀγαθοκλεῖ Διονυσίου | [Μα]ραθωνίωι καὶ ὑπάρχειν αὐτῶι διὰ βίου ἐπὶ ταῖς | [τιμ]αῖς ταῖς αὐταῖς αἷς ἐτετίμητο καὶ ὁ πατὴρ αὐ|[τοῦ], ἐπειδὴ ὑπομεμένηκεν τὴν ταμιείαν εἰς τὸν | [με]τὰ ταῦτα χρόνον διεξάξειν καὶ ἐπαυ[ξ]ήσειν τὴν || [σύνο]δον διδοὺς εἰς ταῦτα ἑαυτὸν ἀπ[ροφ]ασίστως, | [βουλ]όμενος [ἀ]ποδείκνυσθαι τὴν ἑαυτοῦ εὔνοιαν | [καὶ] καλοκἀγ[α]θίαν πρὸς ἅπαντας τοὺς Διονυσιαστά[ς], | εἰσή[γα]γεν [δ]ὲ καὶ τὸν ἀδελφὸν αὐτοῦ Διονύσιον

Διο νυσίου Μαρα[θ]ώνιον εἰς τὴν σύνοδον ἐπὶ τὰ τοῦ πατ[ρὸς] || ὑπάρχοντα [μ]εθέξοντα τῶν κοινῶν κατὰ τὸν νόμο[ν]· | φροντίσαι δὲ τοὺς ὀργεῶνας, ὅπως ἀφηρωισθεῖ Δι[ο]|νύσιος καὶ ἀ[ν]ατεθεῖ ἐν τῶι ἱερῶι παρὰ τὸν θεόν, ὅπου κα[ὶ] | ὁ πατὴρ αὐτοῦ, ἵνα ὑπάρχει κάλλιστον ὑπόμνημα αὐτοῦ | εἰς τὸν ἅπαντα χρόνον. Ἀναγράψαι δὲ τόδε τὸ ψήφισμα ἐ[ν] || στήλει λιθίνει καὶ στῆσαι παρὰ τὸν νεὼ τοῦ θεοῦ· τὸ δὲ | γενόμενον ἀνάλωμα εἰς τὴν στήλην καὶ τὴν ἀνάθεσιν | μερίσαι τὸν [τ]αμίαν. Ταῦτα Σόλων εἶπεν. —

987. — Plaque de marbre de l'Hymette brisée en bas. Trouvée près du Pirée. – Dragatsis, Ἐφημ. Ἀρχ., 1884, p. 39 s. — C.I.A., IV, 2, 623^{d} (p. 167). — Cf. Kœhler, *Athen. Mitth.*, IX (1884), p. 288 s. — Nous supprimons les débris très mutilés d'un second décret.

Ἱερὰ Διονύσου. | Ἀγαθεῖ τύχει. Ὀργεῶνες· | Διονύσιος Ἀγαθοκλέους Μαραθώνιος, | Ἀγαθοκλῆς Διονυσίου Μαραθώνιος, || Σόλων Ἑρμογένου Χολαργεύς, | Ἐπιχάρης Κράτωνος Σκαμβωνίδης, | Ἰσοκράτης Σατύρου Κυδαθηναι[ε]ύς, | Ἄνδρων Σωσάνδρου Ἁμαξαντεύς, | Διονυσογένης Διονυσίου Παιανιεύς, || Σίμων Σίμωνος Πόριος, | Φιλόστρατος Διονυσίου Πόριος, | Λέων Σίμου Ἐλαιούσιος, | Θεόδοτος Τιμησίωνος Φλυεύς, | Δίων Ἀντιλόχου Λαμπτρεύς, || Ἡρακλείδης Θεοδώρου Παιονίδης, | Καλλικράτης Τιμησίωνος Κηφισιεύς, | Ἀπολλόδωρος Ἀπολλωνίου Λαμπτρεύς. |

[Ἀ]γαθεῖ τύχει. Ἐ[πὶ] Εὐπολέμου ἄρχοντος· Ποσιδεῶνος ἀγορᾶι κυρίαι. Ἔδοξεν τοῖς | [Διον]υσιασταῖς. Σόλων Ἑρμογένου Χολαργεὺς εἶπεν· Ἐπειδὴ Διονύσιος Ἀγαθοκλέους | [Μαραθώ]νιος, κατασταθεὶς ταμίας ὑπὸ τῶν Διονυσιαστῶν πλείω ἔτη, καὶ λαβὼν παρ' αὐτῶν | [τὴν ἱερεωσ]ύνην τοῦ Διονύσου τόν τε νεὼ τοῦ θεοῦ κατεσκεύασεν καὶ ἐκόσμησεν πολλοῖς | [καὶ καλοῖς ἀνα]θήμασιν καὶ εἰς ταῦτα ἀνήλωκεν οὐκ ὀλίον πλῆθος ἀργυρίου, ἐπέδω|[κεν δὲ εἰς τὸ κοι]νὸν δραχμὰς χιλίας ὅπως ἔχωσιν ἀπὸ τῆς προσόδου θύειν τῶι θεῶι κα|[τὰ μῆνα ἕκαστον κα]τὰ τὰ πάτρια, παρεσκεύασεν δὲ τοῖς Διονυσιασταῖς ἵν' ἔχωσιν χρᾶ||[σθαι αὐτοῖς καὶ χρυσώ]ματα καὶ ἀργυρώματα καὶ τὴν λοιπὴν χορηγίαν πᾶσαν τὴν δέο|[υσαν εἰς τὰ ἱερὰ καὶ τόπον εἰ]ς ὃν συνιόντες καθ' ἕκαστον μῆνα μεθέξουσιν τῶν ἱερῶν· | [δεδόχθαι τοῖς ὀργεῶσιν· ἐ]παινέσαι Διονύσιον Ἀγαθοκλέους Μαραθώνιον καὶ στεφα|[νῶσαι κιττοῦ στεφάνωι κα]τὰ τὸν νόμον ἀρετῆς ἕνεκεν καὶ καλοκἀγαθίας καὶ εὐ|[νοίας τῆς αὐτοῦ καὶ ἀναγορεῦ]σαι τὸν στέφανον τοῦτον μετὰ τὸ τὰς σπονδὰς ποιή||-

[σασ]θαι ὅταν συντελεσθῆι τ]ὰ ἱερὰ τοῖς ὀργεῶσιν ἐν τεῖ πρώτει συνόδωι. Ἀναγρά|[ψαι δὲ τόδε τὸ ψήφισμα ἐν στήλει λιθί|νει καὶ στῆσαι παρὰ τὸν νεὼ τοῦ θεοῦ· εἰς δὲ τὴν ἀ|[ναγραφὴν καὶ τὴν ἀνάθεσιν τῆς στήλης μερ]ίσαι τὸ γενόμενον ἀνάλωμα τὸν ταμίαν. Ταῦ|[τα Σόλων εἶπεν. — | - - - - -

988. Laurium (Attique). **Règlement d'un sanctuaire en l'honneur de Men Tyrannos.** (IIe s. ap. J.-C.)

Stèle trouvée près de Sunium. — Koumanoudis, *Bull. de l'Éc. fr. d'Ath.*, p. 55. — Foucart, *Associations religieuses*, n° 38 (cf. p. 121 s.). — C.I.A., III, 74. — Dittenberger, 379. — Cf. Reinach. *Traité d'Épigr. gr.*, p. 105 et 127 s. — Ziebarth, *Griech. Vereinsw.*, p. 38. — Perdrizet, *Bull. de Corr. Hell.*, XX (1896), p. 84 s. — L'inscription a été gravée deux fois, les deux exemplaires ne sont pas identiques. Nous donnons plus bas les variantes principales du texte le plus court (*B* = C.I.A., III, p. 73), sans relever toutes les fautes des deux copies fort négligemment écrites.

Ξάνθος Λύκιος Γαίου Ὀρβίου καθειδρύσατο ἱερ[ὸν τοῦ Μηνὸς] | Τυράννου, αἱρετίσαντος τοῦ θεοῦ, ἐπ' ἀγαθῇ τύχῃ, καὶ [μηδένα] | ἀκάθαρτον προσάγειν· καθαριζέστω δὲ ἀπὸ σ[κ]όρδων καὶ [χοιρέων] | καὶ γυναικός· λουσαμένους δὲ κατακέφαλα αὐθημερὸν εἰ[σπορεύ]||εσθα[ι], καὶ ἐκ τῶν γυναικείων διὰ ἑπτὰ ἡμερῶν λουσαμένην [κατα]|κέφαλα εἰσπορεύεσθαι αὐθημερόν, καὶ ἀπὸ νεκροῦ διὰ ἡμερῶν δ[έκα], | καὶ ἀπὸ φθορᾶς ἡμερῶν τετταράκοντα, καὶ μηθένα θυσιάζειν ἄνε[υ] | τοῦ καθειδρυσαμένου τὸ ἱερόν· ἐὰν δέ τις βιάσηται, ἀπρόσδεκτος | ἡ θυσία παρὰ τοῦ θεοῦ. Παρέχειν δὲ καὶ τῶι θεῶι τὸ καθῆκον δεξιὸν || σκέλος καὶ δορὰν καὶ κεφαλὴν καὶ πόδας καὶ στηθύνιον καὶ ἔλαιον | ἐπὶ βωμὸν καὶ λύχνον καὶ σχίζας καὶ σπονδήν. Καὶ εὐείλατος | γένοι[τ]ο ὁ θεὸς τοῖς θεραπεύουσιν ἁπλῇ τῇ ψυχῇ. Ἐὰν δέ τινα | ἀνθρώπινα πάσχῃ ἢ ἀσθενήσῃ ἢ ἀποδημήσῃ που, μηθένα ἀνθρώ|πων ἐξουσίαν ἔχειν ἐὰν μὴ ὧι ἂν αὐτὸς παραδῶι· ὃς ἂν δὲ πολυ||πραγμονήσῃ τὰ τοῦ θεοῦ ἢ περιεργάσηται, ἁμαρτίαν ὀφιλέτω Μηνὶ | Τυράννωι, ἣν οὐ μὴ δύνηται ἐξειλάσασθαι. Ὁ δὲ θυσιάζων τῇ ἑβδόμῃ | τὰ καθήκοντα πάντα ποιείτω τῶι <τῶι> θεῶι, λαμβανέτωι δὲ τῆς θυσίας ἧς | ἂν φέρῃ σκέλος καὶ ὦμον, τὰ δὲ λοιπὰ κατακοπτέζωι ἱερῶι· εἰ δέ τις | <εἰ δέ τις> προσφέρει θυσίαν τῶι θεῶι, ἐγ νουμηνίας μεχρὶ πεντεκαι||δεκάτης· ἐὰν δέ τις τράπεζαν πληρῶι τῶι θεῶι, λαμβανέτω τὸ ἥμισ[υ]. | Τοὺς δὲ βουλομένους ἔρανον συνάγειν Μηνὶ Τυράννωι ἐπ' ἀγαθῆι τύ[χῃ]· | ὁμοίως δὲ παρέξουσιν οἱ ἐρανισταὶ τὰ καθήκοντα τῶι θεῶι δέ[ξιον] | σκέλος καὶ δορὰν καὶ κοτύλην ἐλαίου καὶ χοῦν οἴνου καὶ να[στὸν] |

κιαῖον καὶ ἐφίερα τρία καὶ κολλύβων χοίνικες δύο καὶ ἀκρο[κώ-λια ὅτ]||αν κατακλιθῶσιν οἱ ἐρανισταὶ καὶ στέφανον καὶ λημνί-σκ[ους]· | καὶ εὐείλατος γένοιτο τοῖς ἁπλῶς προσπορευομένοι[ς ὁ θεός.

Lignes 5 et suiv., *B* : καὶ | ἀπὸ νεκροῦ καθαρίζεσται δεκά|ταν, ἀπὸ γυναικέων ἑβδομαία[ν] | ἀνδροφόνον μηδὲ περὶ τὸν τό|πον, ἀπὸ δὲ φθορᾶς τετταρα|κοσταίαν..

989. Salamine. **Honneurs rendus aux membres d'un thiase.** (Fin du ive s. av. J.-C.)

Plaque de marbre bleuâtre surmontée d'une corniche. Inscrite sur la face antérieure (*A*) et sur le côté droit (*B*). Trouvée à Salamine, puis transportée à Egine. — C.I.G., 110. — Rangabé, *Ant. Hell.*, 1247. — Lebas-Foucart, 1634. — Foucart, *Associations religieuses*, nº 39. — C.I.A., II, 987. — Cf. Ziebarth, *Griech. Vereinsw.*, p. 42. — Fränkel, *Abhandl. der Berl. Akad.*, 1897, p. 237 s.

A. Τούσδε ἐστεφάνωσαν οἱ θια[σ]ῶται φιλοτιμ[ί]|ας ἕνεκεν τῆς εἰς ἑαυτούς· |

Couronne : Φιλιστίδην | Σωσίβιον. |

Τούσδε ἐστεφάνωσεν τὸ κοινὸν τῶν θιασωτῶν ἀρετῆς ἕνεκα | καὶ δικαιοσύνης τῆς εἰς τὸ κοινὸν τῶν θιασωτῶν· | Ἀρχέστρατον, Ἀντιφῶντα, | Σιλανίωνα, Κυχραῖον, | Ἐπικράτην, Εὐεργέτην, || Σιλανίωνα, Πυρρῖνον, | Ἀριστοτέλην, Ἐπικράτην, | Ἀρχέστρατον, Ἐπικλῆν.

B. Ἀρχέστρατος, | Φιλιστίδης, | Εὐκλέων, | Πυθέας, || Εὐεργέτης, | Σιλανίων, | Σωσίβιος, | Πάμφιλος, | Κλεοφῶν, || Ἐπικράτης, | Θράσων, | Παρθενίων, | Ἡσυχία, | Ἐρωτίς, || Αἰθέριον.

990. Sparte. **Liste des membres d'un collège ayant pris part au banquet.** (Ier s. av. J.-C.)

Stèle de marbre bleuâtre surmontée d'un fronton, actuellement au musée de Sparte. — Welcker et Henzen, *Bull. dell' Inst. arch.*, 1844, p. 145 s. — Lebas-Foucart, 163ª. — Deneken, *De Theoxeniis*, Berlin, 1881, p. 20 s. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 4440. — Cf. Dressel et Milchhœfer, *Athen. Mitth.*, II (1877), p. 383 s. — Wide, *Lakonische Kulte*, p. 311. — Ziebarth, *Griech. Vereinswesen*, p. 64.

Οἱ σιτηθέντες ἐπὶ Νικοκ[λέ]ος· | Εὐρυβάνασσα Σιδέκτα. — | Τυνδάρης Σιδέκτα, ἱερεύς. | Δεξίμαχος Πρατόλα. — || Σιδέκτας Πρατόλα. — | Δαμοκρατίδας Εὐδαμίδα, βίδυος. | Τιμόδαμος Δαμοστράτου γερουσ[ίας]. | Ἀριστομένης Ἀριστομένεος, ἔφορος. | Φιλόστρατος Σωσ[ι]κράτεος, νομοφύλαξ. || Δινοκράτης Δινοκλέος γυναικο[νό]μος. | Πρατόλας Δεξιμάχου. — | Δαμοκρά-

της Ἀρισ[το]κρατίδα, κᾶρυξ. | Εὐκράτης Εὐρυκράτεος, μάντις. | Καλλικράτης [Κ]λέ|ω|νος αὐλητάς. Νικανδρίδας Νικομάχου κιθαριστάς. | Εὐδαιμοκλῆς (Εὐδαιμοκλέος) διδάσκαλος, κατὰ νόμον. | Δαμοκράτης (Δαμοκράτεος), ἀρχιτέκτων. | Μαντικλῆς Σωσικράτεος, γλυφεύς. | Δαμοκράτης (Δαμοκράτεος), χρυσωτάς. | Φιλωνίδας Φιλωνίδα, καρνεονείκας. | Ἀριστόπολις Δαμοχάρισος, κατὰ νόμον. | Πρατόνικος ἐξ Περφίλας, κλωστάς. | Ἱππομέδων Νικάνδρου, παιανίας. | Νικοκλῆς ἐκ Τυνδάρους, ψιλινοποιός. || Ἀνδρόνικος Νικοκλέος, καθαρτής. | Ζήλωτος ἐκ Παντειμίας, γραμ(μ)ατεύς. | Δάμιππος Ἀγαθοκλέος, ῥογεύς. | Στέφανος Φοιβίδα, ἀναγνώστας. | Νικήφορος ἐγ Δαμοστράτου, ὑπηρέτας. || Δαμοκράτης Λυσίππου, πάροχος. | Εὔνους ἐξ Ἀριστοκράτεος, ἀρτοκόπος. | Κλωδία κυρίας Ἀκαμαντίας, στεφανόπωλις. | Φιλόδαμος ἐξ Εὐθυκλέος, μάγιρος. | Διοκλῆς κυρίας Καλλισθενίας, ἀφατεῖν.

Lignes 16, 17 et 19, le signe) indique, sur le marbre, que le patronymique est identique au nom. Cf. C.I.G., I, p. 613.

991. Sparte. Liste des membres d'une association.
(Ier s. av. J.-C.)

Marbre trouvé à Sparte, actuellement au musée. — [Heuzey, Thenon et Hinstin, *Journ. gén. de l'Instr. publ.*, 1858, n° 45.] — Conze et Michaelis, *Ann. dell' Inst. arch.*, 1861, p. 41 s. — Lebas-Foucart, 163b. — Cauer, 33. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 4444. — Cf. Wide, *Lakonische Kulte*, p. 31 s. — Ziebarth, *Griech. Vereinsw.*, p. 42. — La liste est disposée en deux colonnes.

Ταινάριοι ἐπὶ Ἀριστοκρατίδα· |

I. Κλεόμαχος Σηρανδρίδα | Τίμων Στεφάνου | Πολυδάμας Πολυστράτου || Στέφανος Σηρίππου | Ἀριστοκράτης — | Τίμων Τιμοκλέος | Ἀριστογένης Ἀριστοκλέος | Καλλιάδας Εὐδαιμοτέλεος || Σίπομπος Σίμου | Καλλιάδας Καλλικράτεος | Καλλικράτης Εὐμωλίωνος | Ἀριστίδας Κλεοδάμου | Ἄρατος Δεξικράτεος || Χαιρήμων Καλλινίκεος | Ἀμείνιππος Δαμοκράτεος | Ἀμίαντος Ἀριστονίκου | Κρατιστόλας Ἀριστόλα | Στέφανος Στεφανοκλέος || Νίκανδρος Παντοκλέος | Νικόδαμος Νικία | Ἀριστοκλῆς Φιλέα | Σήριππος Εὐξένου | Σίπομπος Ἀριστοδάμου || Πρατόλας Ἀριστοτίμου | Πρατόνικος Καλλικράτεος | Σικλῆς Σωτηρίδα | Τιμοκλῆς Κλέωνος | Ἆγις Στρατίου || Μνάσων Μνασικράτεος | Θέων Μνασικράτεος.

II. Δαμέας Νικία | Ἀριστόμαχος Πασικλέ[ος] | Κραταιμένης Ἀνδρομένε[ος] || Δαμάγητος Τιμοκράτε[ος] | Ἱέραρχος Ἀρχίππου |

Φιλόφρων Σοΐδα | Ἀλκισοΐδας Ἱπποδάμ[ου] | Ὀλυμπιάδας Ὀλυμπιάδα || Νικομήδης Νικία | Ἀγήμων Περικλέος | Φιλοκλῆς Τιμοξένου | Τάρας Τιμόλα· | κάρυκες, || Ἀρχίτας Ἀριστοκλέος | Κλεώνυμος Κλήτορος· | μάντις, | Ἀρέτιππος Λυσίππου· | αὐλητάς, Ἀριστόδαμος· || γραμματεύς, Κλήνικος· | τὸν σῖν φέρων, Εὐδαιμίων· | ἐπὶ γραφῶν, Εὐάμερος· | κοιακτήρ, Εὔβιος· | μάγειρος, Κτησιφῶν. — |

992. Mantinée (Arcadie). **Décret des Coragoi en l'honneur de Nicippa.** (61 av. J.-C.)

Stèle de pierre trouvée à Mantinée. — Foucart, *Ann. de l'Assoc. des Ét. gr.*, 1875, p. 327 s. (trad.) — Lebas-Foucart, 352^{h} (cf. p. 212, trad. et comm.). — Immerwahr, *Kulte und Mythen Arkadiens*, p. 100 s. — Cf Fougères, *Mantinée*, 1898, p. 306 s. et p. 325.

Ἀγαθᾶι τύχαι. | Ἐπεὶ Νικίππα Πασία ἀπὸ προγόνων ὑπάρ|χουσα φιλοδόξων καὶ αὐτὰ τειρεῖν ἐξελομέ|να τὰν τῶν προγόνων ἀρετάν, ἐτήρησεν οὐ μόνον τὰ πρὸς || τοὺς ἀνθρώπους δίκαια ἀλλὰ καὶ τὰ πρὸς τοὺς θεοὺς εὐ[σεβῶ]ς | διακειμένα καὶ τι[μ]ῶσα πάντας [τοὺς θεούς, τὰν δὲ θεὸ]ν ἐμ | παντὶ καιρῶι θεραπεύουσα καὶ συνευκ[ο]σμ[οῦ]σα τοῖς ἀεὶ γι|νομένοις ἱε[ρεῦσι]ν ὧ[ν παρ]έχει ἑκάστοις [χρείας πρ]ὸς τὰν τᾶς θε|οῦ τιμὰν καὶ κ[όσμησ]ιν ἀπρο[φ]ασίστως [ὑπηρετοῦσα καὶ] ἐν τῶι πέμ||πτωι καὶ ὀγδοηκοστῶι ἔτει, μηνὸς - - - - - - ὑπογυίου | οὔσας τᾶς τῶν Κοραγίων θυσίας καὶ [πομπᾶς], μελλόντων ἐπι|τελεῖσθαι τῶν περὶ τὰν θεὸν μυστικῶν [τῶν] ἀ[ρρ]ήτων ἐμφανι|σάντων τῶν ἱερέων [ἐ]πεδέξατο Νικίππα τὰν λειτουργίαν ἀνε|πικωλύτως καὶ ἐποιήσατο πᾶσαν [δα]πάν[αν ἀ]φειδῶς καὶ ἐκ[τε]||νῶς ἂν ἔδε[ι εἴ]ς τ[ε] τὰν θεὸν καὶ τὰν σύνοδον, ἄγαγε δὲ καὶ | τὰν πομπὰν τῶν Κοραγίων ἐπισάμως καὶ μεγαλοπρεπῶς | καὶ ἔθυε τᾶι θε[ῶι] καὶ ἐκαλλιέρει ὑπὲρ τὰν σύνοδον ἀξίως | αὑσαυτᾶς καὶ τᾶς συνόδου, προσεπέδωκε δὲ καὶ εἰς κα|τεπείγουσαν χρείαν δ[ρ]αχ[μ]ὰς ὀγδοήκοντα, εἰσήνεγ||κε δὲ καὶ τᾶι θεῶι πέπλο[ν] καὶ ἐσκέπασεν καὶ εὐσχημό|νισεν τὰ περὶ τὰν θεὸν ἄρρητα μυστήρια, [ὑ]πεδέξατο | δὲ καὶ τὰν θεὸν εἰς τὰν ἰδίαν οἰκίαν, καθώς ἐστιν ἔθος | τοῖς [ἀ]ε(ὶ) γινομένοις ἱερεῦσιν, ἐποίησε δὲ καὶ τὰ νομι|ζόμενα ἐν τοῖς τριακοστοῖς τᾶι ἀνοίξει τοῦ ναοῦ || μεγαλομερῶς, προενοήθη δὲ καὶ ἇς προσεδεῖτο ὁ | ναὸς [ο]ἰκοδομᾶς· διὰ οὖν ταῦτα ἔδοξε τᾶι συνό|δωι τῶν Κοραγῶν· ἐπαινέσαι Νικίππαν ἐφ' ἇι ἔχει | φιλανθρωπίαι καὶ τᾶι πρὸς τοὺς θεοὺς εὐσεβεί|αι καὶ τᾶι πρὸς τὰν σύνοδον εὐνοίαι· καλεῖν δὲ αὐ|τὰν καὶ ἐπὶ τὰ ἱερὰ τοὺς ἀεὶ ὑποδεχομένους

κα|θὼς καὶ τοὺς λοιποὺς τοὺς τὰν σύνοδον τετι|μακότας ἐν ταῖς αὐταῖς ἁμέραις, πέμπειν δὲ | αὐτᾶι καὶ αἶσαν ὡσαύτως· ε[ἰ δέ τ]ις μὴ καλέσει | τῶν ὑποδεχομένων κα.......... ιωμα καὶ || ἐπαναγκαζέ(σ)θω καλεῖν [καὶ ζαμιούσ]θω ὁ | τούτων τι μὴ ποιή-σας [δραχμαῖς -----]α· ἔ|στω δὲ καὶ ὑπεύθυνος Νι[κίππαι ὡς κατ]αλύων | τὰ δεδομένα αὐτᾶι [ὑπὸ τᾶς συνόδου] τίμια, ἵ|να τούτων συντελ[ουμένων φ]αίνηται ἁ σύ[ν]||οδος εὐχάριστος οὖ[σα ἔχουσά τ]ε καὶ περὶ τῶν | μελλόντων ἀγαθὰς ἐ[λ]πίδας· καταστασά|τωσαν δὲ οἱ ἱερεῖς τοὺς ἀναγράψοντας τοῦ|δε τοῦ δόγματος τὸ ἀντίγραφον ἐν στάλαι | λιθίναι καὶ ἀναθήσοντας ἐν τῶι ἐπιφα||νεστάτωι τοῦ ἱεροῦ τόπωι· ὁμοίως δὲ καὶ | εἰς τὰν κοινὰν πινακίδα κατέσταθεν Ἀ|λεξίνικος Ἀλέξωνος, Θυωνίδας Θυωνί|δα, Σιμίας Ἀνθεμοκρίτου, Ἀρίσταρχος Με|νίππου, Φιλή-σιος Σαμίδα, Ἀλκαμένης Μαν||δρηκίδα, Αἴθων Φιλοσθένεος, Μηνᾶς Μηνᾶ. —

Ligne 23, le marbre porte ΤΟΙΣΔΕΓΙΝΟ.

993. Mantinée. Décret d'un collège de prêtresses de Déméter. (43 av. J.-C.)

Stèle de pierre, avec pied, trouvée dans l'enceinte de Mantinée. — Lebas-Foucart, 352[1]. — Immerwahr, *Kulte und Mythen Arkadiens*, p. 102 s. — Cf. Fougères, *Mantinée*, p. 307 et p. 325.

Ἐπειδὴ Φ[αηνὰ Δαματρίου Ἀντιγονικὰ εὔνους ὑπάρ]|χουσα καὶ εὐσεβὴς ἀνέστραπταί τε καλῶς ἐν ὅλῳ τῷ βίῳ κ[αὶ] | εὐσεβῶς πρὸς πάντας μὲν τοὺς θεούς, μάλιστα δὲ πρός τε τὰν | Δάματρα καὶ τὰν Κόραν καὶ τὰς ἱερείας τᾶς Δάματρος φανε||ράν τε πεποίηκε τὰν ἰδίαν μεγαλοψυχίαν καὶ ἐκτένειαν εἰς | τὸ θεῖον· ἱερίτευχε γὰρ τᾷ Δάματρι μεγαλοπρεπῶς, οὐδένα | λόγον δαπά-νας ποιουμένα οὔτε εἰς αὐτὰν τὰν θεόν, οὔτε | εἰς τὰς καθηκού-σας ἀντ' ἐνιαυτοῦ τᾷ θεῷ λειτουργίας, οὔ|τε εἰς τὰς ἱερείας· παρέσχηται δὲ καὶ ταῖς ἀεὶ ἀντιτυγχανο[ύ] σαις ἱερείαις εὔχρη-στον αὐσαυτὰν καὶ τὸν ἴδιον βίον ἀπρο|φάσιστον ὑπηρετοῦσα πρὸς πᾶσαν λειτουργίαν καὶ δαπά|ναν τὰν ἀνήκουσαν εἴ[ς] τε τὰν θεὸν καὶ τὰς ἱερείας· οὐ μό|νον δὲ ἐν τούτοις εὐεργετικῶς ἀνέστραπται, ἀλλὰ καὶ | μετὰ τὸ ἱεριτεῦσαι οὐ διαλέλοιπε εὐερ-γετοῦσα δείπνοις || τε μεγαλομερέσι καὶ ταῖς ἄλλαις εὐεργεσίαις τε καὶ δα|πάναις ταῖς εἰς τὰν θεὸν γινομέναις καὶ εἰς τὰς ἱερείας, | εἰσενήνεκται δὲ καὶ ἄλλαν μείζω φιλανθρωπίαν αἰώνιον | εἴς τε τὰν θεὸν καὶ τὰς ἱερείας· τὰς γὰρ ἀντ' ἐνιαυτοῦ γιν[ο]|μένας δαπάνας [ἀ|π' αὐτᾶς ἐντέταλται ἐπιτελεῖν ἀντ' αὐσα[υ]||τᾶς, ἐὰν

τι ἀνθρώπινον πάθῃ, τὰς ἐγγόνους αὐτᾶς Θεοδώ|ραν τε τὰν θυγατέρα καὶ Φαηνὰν Δαμασίλα τὰν τᾶς θυγατρὸ[ς] | θυγατέρα, ὅπως ἁ ἐκτένεια αὐτᾶς εἴς τε τὰν θεὸν καὶ τὰ[ς] | ἱερείας αἰωνίου μνείας τυγχάνουσα διατελεῖ, οὐ μόνον δ[ὲ] | ἐν τοῖς προγεγραμμένοις εὐεργετήμασιν ἀνέστραπται || φιλοδόξως, ἀλλὰ ἐπὶ μεῖζον αὔξεσθαι θέλουσα τάν τε θεὸν | καὶ τὰν σύνοδον τᾶν ἱερειᾶν, ἀνάκεικε δραχμὰς ἑκατὸν εἴκο|σι εἴς τε τὰν τοῦ μεγ[άρ]ου ἐπισκειὰν καὶ εἰς ἄλλαν χρείαν, | ἃν ἂν δόξῃ ταῖς ἱερείαις ἁ ἀνατεθεῖσα [τ]αύτας δωρεὰς | εὔχρηστος εἶναι· ὅπως οὖν καὶ ἁ σύνοδος φαίνηται τᾶν ἱ|ερειᾶν τᾶς Δάματρος εὐχάριστος οὖσα καὶ μναμονε|ύουσα τῶν εἰς αὐτὰν ἀναστρεφομένων καλῶς καὶ ἐνδό|ξως· ἔδοξε τῷ κοινῷ τᾶν ἱερειᾶν· ἐπαινέσαι Φαηνὰν Δ|αματρίου Ἀντιγονικὰν ἐπί τε τᾷ καλοκἀγαθίᾳ καὶ εὐεργε|σίᾳ τᾷ ἔσχηκε εἴς τε τὰν θεὸν καὶ τὰς ἱερείας, καλεῖν || τε αἰτὰν ἐπὶ τὰ ἱερὰ διὰ παντὸς ἐν ταῖς γινομέναις ἀντ' ἐ|νιαυτοῦ θυσίαις τε καὶ σιταρχίαις ἀνακαλούσας τὰς ἀεὶ | ἀντιτυγχανούσας ἱερείας τε καὶ σιτάρχους· τὸ κοινὸν τᾶν | ἱερειᾶν τᾶς Δάματρος ἐπὶ τὰ ἱερὰ καλεῖ Φαηνὰν Δαματρί|ου τὰν αὐτᾶν εὐεργέτιν· δίδοσθαι δὲ αὐτᾷ διὰ βίου ἱερὰ τὰ || εἰθισμένα. Ἀναγράψαι τε τὸ ψάφισμα τοῦτο εἰστάλαν λι|θίναν καὶ ἀναθεῖναι εἰς τὸ Κοράγιον, καθὼς ἔδοξε τοῖς ἄ[ρ]|χουσι καὶ συνέδροις τοῖς ἐν τῷ τρίτῳ καὶ ἑκατοστῷ ἔτ[ει]. | Εἰ δέ τις μὴ καλέσει ἐπὶ τὰ ἱερά, εἰ μὴ δώσει τὰ προγεγρα[μ]|μένα ἱερά, ὑπόδικος ἔστω καὶ ἔνδεικτος ποτὶ δραχμὰ[ς] || ἑκατὸν αὐτᾷ τε καὶ τοῖς ἐγγόνοις αὐτᾶς. —

994. Haliarte (Béotie). **Décret d'une association de chasseurs.** (Ier s. av. J.-C.)

Stèle surmontée d'un fronton, trouvée à Haliarte, actuellement perdue. — Ulrichs, *Ann. dell' Inst. arch.*, 1848, p. 55. — Lebas-Foucart, 661. — C.I.G.S., I, 2850. — Cf. Ziebarth, *Griech. Vereinsw.*, p. 117. — Nous avons suivi les restitutions de M. Dittenberger, sans noter les fautes du texte épigraphique.

Ἄρχοντος Ἀθήνησι Νικοδήμου· | ἐπιμε[λητ]οῦ δὲ [ἐ]ν [Ἁ]λιάρτ[ῳ] Ἀ[νταγόρου τ]|οῦ Ἀντ[α]γόρο[υ] Ὀτ[ρ]υνέ[ως. Ὁ ἱερε|ὺ]ς τῆς Ἀρτέμιδος Καλλίστρα||τος (εἶπε)· Ἐπειδὴ Ἀντάγορος Ἀνταγό|ρου Ὀτρυνεὺς ὁ κατασταθεὶς ταμίας τῆς συνόδου τῶν κυνηγῶν | [τ]ούς τε λόγους καταβέβληται ὀρ|[θῶ]ς καὶ δικαίως, κατασταθεὶς δὲ | [καὶ ἐπ]ὶ τὴν ἐπισκευὴν τοῦ οἴκου κ[α]||λῶς καὶ δικαίως ἀνεστράφη, ἔτι | [δ]ὲ πλείονα εὔχρηστα πεποίηκε [τῆι] | συνόδωι τῶν κυνηγῶν· κατὰ τ[αῦτα] | πάντα ἐπαινέσαι Ἀντάγορον [Ἀντ]|α[γόρ]ο[υ], δεδόχθαι τ[ε τῆι συνόδωι τῶν κυ||ν]η[γῶ]ν, στεφ(α)νῶ[σαι αὐτὸν χρυσῶι στεφάν]|ωι - - - - -

16 αἰ δ' ἐφιορκέοιμι [Fε]κών, τὰ κακὰ ἀντὶ τῶν ἀγαθῶν

É. Bourguet RÉG XXVI 1913, p. 106.

Cf. Insc. de Tégée, Buck 17 εἰ δ' ἂν λευτον μὲ ἰνφορβίε

= intentionally

995. Delphes. Règlements de la phratrie des Labyades. (Fin du v^e s. av. J.-C.)

Cippe de calcaire compacte, couvert d'inscriptions sur les quatre faces (*A*, *B*, *C*, *D*). “ La partie supérieure manque, sans qu'on puisse mesurer l'étendue des lacunes, probablement assez considérables. „ Trouvé à Delphes, en avant du portique des Athéniens. Στοιχηδόν.— Homolle, *Bull. de Corr. Hell.*, XIX (1895), p. 6 s. (trad.) — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 2561. — Cf. Dragoumis, *Bull. de Corr. Hell.*, XIX, p. 295 s. — Keil, *Hermes*, XXXI (1896), p 508 s. — De Sanctis, Ἀτθίς, p. 71 s. — Fournier, *Bull. de Corr. Hell.*, XXII (1898), p. 271 s. — Le texte prendra place dans les *Inscriptions jurid. grecques*, t. II, fasc. 2.

A

...ἔστω· ταγε[υ]σέω δι[καίως κ]|ατὰ τοὺν νόμους τᾶς [π]ό[λι]|ος καὶ τοὺς τῶν Λαβυαδ[ᾶν] | περ τῶν ἀπελλαίων καὶ τᾶ||ν δαρατᾶν· καὶ τὰ χρήματα | συμπραξέω κἀποδειξέω [δ|ι]καίως τοῖς Λαβυάδαις, [κ]|οὔτε κλεψέω οὔτε [β]λα[ψ]έω | οὔτε τέχναι οὔτε μαχαν[ᾶ||ι] τῶν τῶλ Λαβυαδᾶν χρημ[ά]|των καὶ τὸς τάγου[ς ἐπ]αξέ|ω τὸν hόρκον τοὺ[ς ἐν ν]έ[ωτ]||α κατ τὰ γεγραμμένα. h'Ορκ|ος· hΥπίσχομαι ποὶ τοῦ Δι|ὸς τοῦ πατρώιου· εὐορκέο|ντι μέμ μοι πόλλ' ἀγάθ', αἰ δ' | ἐφιορκέοιμι, [εἶμεν] τὰ κα|κὰ ἀντὶ τῶν ἀγαθῶν.— |

Ἔδοξε Λαβυάδαις· Βουκατ|ίου μηνὸς δεκάται, ἐπὶ Κ[ά] ρπου, ἐν τᾶι ἁλίαι, σὺμ ψάφ|οις hεκατὸν ὀγδοήκοντα | δυοῖν. Τοὺς τάγους μὴ δέκ εσθαι μήτε δαρατᾶν γάμε λα μήτε παιδήϊα μήτ' ἀπελ|λαῖα, αἰ μὴ τᾶς πατρίας ἐπ|αινεούσας καὶ πληθυόσα|ς, ἇς κα ἦι. Αἰ δέ τί κα παρ νό|μον κελεύσωντι, τῶν κελε||υσάντων ὁ κίνδυνος ἔστω. | Τὰ δὲ ἀπελλαῖα ἄγεν Ἀπέλ|λαις καὶ μὴ ἄλλαι ἁμέραι, | μήτε ἄγεν τοὺς ἄγοντας, μ|ήτε τοὺς τάγους δέκεσθα||ι. Αἰ δέ κα [δέ]ξ[ω]νται ἄλλαι | ἁμέραι ἢ Ἀπέλλαις, ἀποτε|ισάτω Fέκαστος δέκα δρα|χμάς· ὁ δὲ χρήζων καταγορ|εῖν τῶν δεξαμένων ἐπὶ τῶ|ν hυστέρων τάγων καταγο|ρείτω ἐν τᾶι ἁλίαι τᾶι με|τὰ Βουκάτια, αἰ κ' ἀμφιλλέ|γωντι τοὶ τάγοι τοὶ δεξά|μενοι. Ἄγεν δὲ τἀπελλαῖα || ἀντὶ Fέτεος καὶ τὰς δαρά|τας φέρεν. h'Οστις δέ κα μὴ | ἄγηι τἀπελλαῖα ἢ τὰν δαρ|άταν μὴ φέρηι, ἀμμόνιον κ|ατθέτω στατῆρα ἐπὶ Fεκα|τέρωι· τωι δὲ hυστέρωι Fέ|τει ἀγέτω τἀπελλαῖα καὶ | τὰν δαράταν φερέτω· αἰ δέ | κα μὴ ἄγηι, μηκέτι δεκέσθ|ων ἀμμόνια, ἀλλ' ἢ ἀγέτω ἀπ||ελλαῖα, ἢ ἀποτεισάτω Fίκ|ατι δραχμάς, ἢ hυπογραφό|μενος τόκιομ φερέτω· καὶ | τὰν δαράταν τῶι hυστέρω|ι Fέτει φερέτω, ἢ ἀποτεισ||-

B

[άτω -- δραχμὰς -------

--|.]θ--------|.μα η[............ πα|τ]ρίας ἀγ[αγόντων τοὺς | π]ατριώτα[ς· πάντες δὲ κ]|αὶ Λαβυάδα[ι Εὐκλείοι]|ς περὶ

τᾶν δα[ρατᾶν ἐπι]|κρινόντων καὶ [Ἀπέλλα]|ις περὶ τῶν ἀπελ-[λαίων, | π]αρεόντες μὴ μείο[ς hε||ν]ὸς καὶ hεκατόν· τὰ[ν δὲ] | ψᾶφον φερόντων ἀνδ[εξ]|άμενοι ποὶ τô Ἀπόλλω[ν]|ος καὶ τοῦ Ποτειδᾶνος | τοῦ φρατρίου καὶ τοῦ Δ||ιὸς πατρώιου δικαίως | οἴσειν κατ τὸν νόμους | τῶν Δελφῶν· κἠπευχέσθ|ω δικαίως τὰν ψᾶφον φέ|ροντι πόλλ' ἀγαθὰ τοὺ[ς || θ]εοὺς διδόμεν, αἰ δὲ ἀ[δ]|ίκως, τὰ κακά. Τοῦτα δὲ τ|οὶ τάγοι ἐπιτελεόντω|ν καὶ τῶι δεομένωι συν|αγόντων τοὺς Λαβυάδα||ς. Αἰ δέ κα μὴ ποΐωντι κα|[τ] τὰ γεγραμμένα ἢ μὴ το|[ὺ]ς τάγους τὸν hόρκον ἐ|παγάγωντι, ἀποτεισάτ|[ω] Ϝέκαστος ἐπὶ Ϝεκατέ||[ρ]ωι δέκα δραχμάς. h'Οστ|[ι]ς δέ κα μὴ ὀμόσηι, μὴ ται|[γ]ευέτω. Αἰ δέ κ' ἀνώμοτο|ς ταγεύηι, πεντήκοντα | δραχμὰς ἀποτεισάτω. — || Αἰ δέ κα δέξωνται τοὶ [τ]|άγοι ἢ γάμελα ἢ παιδήϊ|α παρ τὰ γράμματα, ἀποτ|εισάτω πεντήκοντα δρ|αχμὰς Ϝέκαστος των δε ξαμένων. Αἰ δέ κα μὴ ἀπο|τείσηι, ἄτιμος ἔστω ἐγ | Λαβυαδᾶν καὶ ἐπὶ τούτ|ωι καὶ ἐπὶ ταῖς ἄλλαις | ζαμίαις hέντε κ' ἀποτε|ίσηι· καὶ hô κα δέξωντα|ι ἢ δαράταν ἢ ἀπελλαῖα | παρ τὰ γράμματα, μὴ ἔστ|ω Λαβυάδας, μηδὲ κοινα|νείτω τῶν κοινῶν χρημ||άτων μηδὲ τῶν θεμάτων. | Αἰ δέ τίς κα τῶν τάγων κ|αταγορῆι ποιῆσαί τι π|αρ τὰ γράμματα, ho δὲ ἀν|τι[φ]ᾶι, τοὶ τάγοι ἐν τᾶι |

C

[ἁλίαι - - - - - - -

Ὀμνύτω ποὶ τοῦ Ἀπόλλωνος κ|αὶ Ποτειδᾶνος τοῦ φρ]ατ[ρ|ίου καὶ Διός, καὶ δικ]άζο[ν|τι μὲν δικαίως ἐπ]ευχέσ[θ|ω πόλλ' ἀγαθὰ τ]οὺς θεοὺς [δ||ιδόμεν, αἰ δ' ἐ]φιορκέοι, κα|[κά. Αἰ δέ κα μ]ὴ δικάζηι hαι|[ρεθείς, ἀπ]οτεισάτω πέντ|[ε δραχμάς], ἄλλον δ' ἀνθελό|[μενοι τ]ὰν δίκαν τελεόντ||[ων. h'Οσ]τις δέ κα παρ νόμον | [τι] ποιέοντα τᾶι δίκαι hέ|ληι, τὸ hήμισσον ἐχέτω. Το|ὶ δὲ τάγοι τῶι καταγορέο|ντι τὰν δίκαν ἐπιτελεόν||των· αἰ δὲ μή, τὸ διπλôν Ϝέκ|αστος ἀποτεισάτω. h'Οστι|[ς] δέ κα ζαμίαν ὀφείληι, ἄτ|[ι]μος ἔστω hέντε κ' ἀποτεί|σηι. —

h'Οδ' ὁ τεθμὸς περ τῶ||ν ἐντοφηΐων. Μὴ πλέον πέν|τε καὶ τριάκοντα δραχμ[ᾶ]ν ἐνθέμεν, μήτε πριάμενο|[ν], μήτε Ϝοίκω· τὰν δὲ παχεῖ|[α]ν χλαῖναν φαωτὰν εἶμεν. || Αἰ δέ τι τούτων παρβάλλο|ιτο, ἀποτεισάτω πεντήκο|ντα δραχμάς, αἴ κα μὴ ἐξομ|όσηι ἐπὶ τῶι σάματι μὴ πλ|έον ἐνθέμεν. Στρῶμα δὲ hὲ|ν hυποβαλέτω καὶ ποικεφ|άλαιον hὲν ποτθέτω. Τὸν δ|ὲ νεκρὸν κεκαλυμμένον φ|ερέτω σιγᾶι, κὴν ταῖς στρ|οφαῖς μὴ καττιθέντων μη||[δ]αμεῖ, μηδ' ὀτοτυζόντων ἔ|[χ]θος τᾶς Ϝοικίας πρίγ κ' ἐ|πὶ τὸ σᾶμα hίκωντι· τηνεῖ | δ' ἔνατος ἔστω hέντε κα hα|οὶ γᾶι ἀποτθέθηι.

D 9 il faut lire Τελχίνια, l'E est sûr

E. Bourguet RÉG 1913 p. 106.

Bourguet + τᾶς !

D 35 sv. lire κὴκ τᾶς δυωδεκαΐδος Χίμαιραν καὶ τῆμ Προναίαν

= τὰ ἐμ Προναίαν

Bourguet cite une insc. inédite de la 1re moitié du IVe S.

ἰαρηίου ἐμ Προναίαν τέλεσοιν.

Τῶν δὲ π||ρόστα τεθνακότων ἐν τοῖς | σαμάτεσσι μὴ θρηνεῖν μη|δ' ὀτοτύζεν, ἀλλ' ἀπῖμεν Fο|ίκαδε ἕκαστον ἔχθω hομε|στίων καὶ πατραδελφεῶν || καὶ πενθερῶν κὴγγόνων [κ]|αὶ γαμβρῶν. Μηδὲ τᾶι hυσ[τ]|εραία(ι), μηδ' ἐν ταῖς δεκάτ[α]|ις, μηδ' ἐν τοῖς ἐνιαυτοῖ[ς, | μ|ήτ' οἰμώζεν μήτ' ὀτοτύ[ζε||ν]. Αἰ δέ τι τούτων παρβ|άλλοιτο τῶν γεγραμ|μένων, — |

D

-------|.........αχα...δ...|.....—Θοίναι δὲ [τ]αίδ|[ε νόμιμ]οι· Ἀπέλλαι, καὶ Β|[ουκά]τια, hΗραῖα, Δαιδαφ||[όρια], Ποιτρόπια, Βυσίου | [μην]ὸς τὰν hεβδέμαν καὶ | [τ]ὰν hενάταν, κηὔκλει[α, κ]|άρταμίτια, καὶ Λάφρι[α, κ]|αὶ Θεοξένια, καὶ Τραχί|ν||ια, καὶ Διοσκουρήϊα, Μεγ|αλάρτια, καὶ hΗράκλει[α], | καἴ κ' αὐτὸς θύηι hιαρήϊ|ον, καἴ κα λεκχοῖ παρῆι, [κ]|αἴ κα ξένοι Fοῖ παρέωντ||ι hιαρήϊα θύοντες, καἴ κ|α πενταμαριτεύων τύχη|ι. Αἰ δέ τι τούτων παρβάλ|λοιτο τῶν γεγραμμένων, | θωεόντων τοί τε δαμιορ||γοὶ καὶ τοὶ ἄλλοι πάντε|ς Λαβυάδαι, πρασσόντων | δὲ τοὶ πεντεκαίδεκα· αἰ | δέ κα ἀμφιλλέγηι τᾶς θω|ιάσιος, ἐξομόσας τὸν νό||[μιμ]ον hόρκον λελύσθω. Α|[ί δ' ἁ]λίαν ποϊόντων ἄρχω|[ν ἀ]πείη, ἀποτεισάτω ὀδε|λόν, καὶ συγχέοι, ἀποτει|σάτω ὀδελόν. Τοιάδε κὴν || Φανατεῖ γέγραπται ἐν [τ]|ᾶι πέτραι ἔνδω· [Τ]ὰ δὲ [Φ]ά[ν]|οτος ἐπέδωκε τᾶι θυγατ|ρὶ Βουζύγαι, τὰ hεμιρρ[ή]|νια κὴκ τᾶς δυοδεκαΐδο||ς χίμαιραν καὶ τὴμιρ[η]ν|αιᾶν δάρματα, καὶ τὰ τῶι | Λυκείωι δάρματα, καὶ τὰ|ν ἀγαῖαν μόσχομ, πάντων | καὶ Fιδίων καὶ δαμοσίω|ν τὸμ προθύοντα καὶ προ|μαντευόμενον παρέχεν | τὰ γεγραμμένα Λαβυάδα|ις· τᾶι δὲ θυσίαι Λαβυαδ|ᾶν τὠπελλαίου μηνὸς τῶ||ι Διονύσωι, Βουκατίοις | τῶι Δὶ πατρώιωι· καὶ τὠπ|όλλωνι τὰ hακρόθινα, κα ὶ συμπιπίσκεν hαμεῖ το|ὺς Λαβυάδας· τὰς δ' ἄλλας || θοίνας κα[τ] τὰν hώραν ἀπ||άγεσθαι. —

C, ligne 39, MM. Homolle et Fournier distinguent sur la pierre ΟΙΓΑΝΑ, et le dernier propose de lire : hέντε κα hα | θιγάνα ποτθέθηι.

996. Callatis (Thrace). **Décret d'un thiase.** (IIe s. av. J.-C.)

Plaque de marbre brisée en trois morceaux, incomplète en bas. Trouvée à Mangalia, actuellement au musée de Bucarest. — Tocilescu, *Arch.-epigr. Mitth. aus Œ.-U.*, XI (1887), p. 34. — Le même, *Ibid.*, XIV (1891), p. 32 s.

Ἔδοξε τοῖς θιασίταις· Ἐπειδὴ Βίκω[ν] | Διοσκουρίδα φιλόδοξος ἐὼν καὶ | φιλότιμος εἰς τὸν θίασον, ἔκ τε | τῶν ἰδίων εἰσφορὰς ποιησάμε|νος καὶ τὸ κοινὸν διάφορον πιστευ|[θε]ὶς καὶ ἐγδα-

νείσας λυσιτελέως | [τῶι θ]ιάσωι ἀπέδωκε τὰ χρήματα | [μετὰ τ]ῶν γενομένων τόκων καίπερ | [δι]ὰ τοὺς καιροὺς ἀποβαλὼν τὰ θιασι|τικὰ χρήματα καὶ τοῦ κατὰ τὸν νόμον | ὀφειλήματ[ο]ς ἀπολυθείς· ὅπως οὖν καὶ | οἱ θιασῖτα[ι φα]ίνωνται τὰς ἀξίας | τιμὰς ἀπ[οδιδόν]τες τοῖς εἰς ἑαυτοὺ[ς] | φιλοτιμο[υμένοις· δ]εδόχθαι τοῖς θι||[ασίταις - - - -

997. Chios. Décrets de la phratrie des Clytides.
(Fin du ive s. av. J.-C.)

Pierre d'un bleu noirâtre, dans une maison de Chios. Στοιχηδόν. — Sourias, *Athen. Mitth.*, III (1878), p. 203 s. — Haussoullier, *Bull. de Corr. Hell.*, III (1879), p. 47 s. — Dittenberger, 360. — Cf. Schöll, *Satura philologa*, p. 168 s.

- - - εσωτ[. Κλ|υ]τίδαις ἐ[. . . . ἐν τῶ]ι τεμένει [τῶν Κ|λ]υτιδῶν [ο]ἶκον τεμένιον ἱερὸν οἰ[κ|ο]δομήσασθαι καὶ τὰ ἱερὰ τὰ κοινὰ [ἐ||κ] τῶν ἰδιωτικῶν οἰκιῶν εἰς τὸν κο[ι|ν]ὸν οἶκον ἐνεγκεῖν. Θυσαμένοις ἐ[κ|α]λλιέρησεν οἰκοδομήσασθαι καὶ [τ|ὰ] ἱερὰ τὰ κ[οι]νὰ ἐ[κ] τῶν ἰδιωτικῶν ο[ἰ|κ]ιῶν εἰς τὸν [κοιν]ὸν οἶκον ἐνεγκε[ῖ||ν].

Ἐπὶ πρυτάνεω[ς Φο|ίνι[κο|ς· Πλυντη[ρ ι|ῶνος τετράδι· [ἔγνωσαν Κ]λυτίδαι [θ|ύ]σασθαι περὶ τῶν ἱερ[ῶν] τ[ῶ]ν Κλυτι[δ|ῶ]ν τῶν ἐν ταῖς ἰδιωτικαῖ[ς ο]ἰκίαι[ς | ὄ]ντων, πότερον δεῖ α[ὀ]τὰ [εἰς] τὸν οἶ[κ||ο]ν ὃν Κλυ[τ]ίδαι κατὰ μα[ντεί]αν ᾠικ[ο|δ]ομήσαντο φέρεσθαι τῆι ἡμέραι ἧ[ι | γί]νεται ἡ θυσία, τὸν δὲ ἄλλον χρόν[ο|ν] παρὰ τοῖς ἰδιώται[ς] φυλάσσεσθα[ι | κ]αθάπερ καὶ πρότερον, ἢ διὰ παντὸς [α||ὀτ]ὰ κεῖσθαι ἐν τῶι οἴκωι. Θυσαμέν[ο|ι]ς ἐκαλλιέρησεν διὰ παντὸς τὰ ἱε[ρ|ὰ κ]εῖσθαι ἐν τῶι οἴκωι.

Ἐπὶ πρυτάν[ε|ω]ς Κλεοκύδους, Ποσιδεῶνος τετάρ[τ|ηι] ἐξ εἰκάδος· ἔγνωσαν Κλυτίδαι τ[ῶ(ι) | ἱ]ερῶι οἴκωι τῶι Κλυτιδῶν, ἐν ὧι τὰ [π|ατ]ρῶια ἱερὰ κάθηται, καὶ τῶι χώρω[ι | τῶ]ι πρὸς τῶι οἴκωι χρῆσθαι Κλυτί[δ|α]ς κοινῆι, φατρίαν δὲ μηδὲ ἰδιώτη[ν | μ]ηθένα τῶι οἴκωι τούτωι χρῆσθαι [μ||η]δὲ ἄλλωι δοῦναι χρήσασθαι μηθε[ν|ί]. Ὃς δ' ἂν παρὰ ταῦτα ἢ αὀτὸς χρήσητ[α|ι] τῶι οἴκωι ἢ ἑτέρωι δῶι χρήσασθα[ι, | ἀ]ποδότω καθ' ἑκάστην χρῆσιν ἢ δόσ[ι|ν Κλ]υτίδαις χιλίας δραχμὰς ἱερὰ[ς || το]ῦ Διὸς τοῦ Πατρώιου, καὶ ταῖς ἐκ [τ|ῶν] νόμων ἀραῖς ἔνοχος ἔστω· τοὺς δ' [ἐ|πι]μελητὰς τὰς γενομένας γνώμας [π|ερὶ] τοῦ οἴκου καὶ τῶν ἱερῶν καὶ τὰ[ς | δια]μαντείας ἀναγράψαντας εἰς σ[τ||ή]λην λιθίνην στῆσαι παρὰ τὴν εἴσ[ο|δο]ν τοῦ οἴκου. —

Ligne 34, au début, le marbre porte ΑΥΤΙΔΑΙΣ.

998. Délos. Décret d'une corporation de marchands. (Comm. du IIe s. av. J.-C.)

Marbre trouvé à Délos, actuellement au musée du Louvre (*Cat. somm. des marbres ant.*, nº 840). — C.I.G., 2271. — Lebas-Foucart, 1915. — Frœhner, *Inscr. gr. du Louvre*, 68. — Foucart, *Associations religieuses*, nº 43. — Cf. Ziebarth, *Griech. Vereinsw.*, p. 29 s.

Ἐπὶ Φαιδρίου ἄρχοντος· Ἐλαφηβολιῶνος ὀγδόει, ἐκκλησ|ία ἐν τῷ ἱερῷ τοῦ Ἀπόλλωνος· Διονύσιος Διονυσίου | ἀρχιθιασίτης εἶπεν· | Ἐπειδὴ Πάτρων Δωροθέου, τῶν ἐκ τῆς συνόδου, ἐπελθὼν || ἐπὶ τὴν ἐκκλησίαν καὶ ἀνα[μνησ]άμενος τὴν ὑπάρχου|σαν αὐτῶι εὔνοιαν εἰς τὴν σύ(ν)οδον, καὶ ὅτι πολλὰς χρείας | παρείσχηται ἀπαρακλήτως διατελεῖ διὰ παντός, κ[οι]|νεῖ τε τεῖ συνόδωι [λ]έγων καὶ πράττων τὰ συνφέροντα, | καὶ κατ' ἰ(δί)αν εὔνους ὑπάρχων ἑκάστωι τῶν πλοϊζομέ[νων] || ἐμπόρων καὶ ναυκλήρων συνε|λθόντων| ἐπευξημέ|νης αὐτῆς, μετὰ τῆς παλαίας εὐνοίας παρεκάλεσεν τὸ | κοινὸν ἐξαποστεῖλαι πρεσβείαν πρὸς τὸν δῆμον τὸν Ἀθη|ναίων, ὅπως δοθῇ αὐτοῖς [τόπος] ἐν ὧι κατασκευάσουσιν τέ|μενος Ἡρακλέους τοῦ πλεί[στων ἀγαθ]ῶν παραιτίου γε||γονότος τοῖς ἀνθρώποις, ἀρχηγοῦ δὲ τῆς πατρίδος ὑπάρ|χοντος· αἱρεθεὶς πρεσβευτὴς πρὸς τὴν βουλὴν καὶ | τὸν δῆμον τὸν Ἀθηναίων πρ|εσβεί|αν ἀναδεξάμενος ἔ|πλευσεν δαπανῶν ἐκ τῶν ἰδίων, ἐμφανίσας τε τὴν | τῆς συνόδου πρὸς τὸν δῆμον εὔνοιαν παρεκάλεσεν || αὐτὸν καὶ διὰ ταύτην τὴν αἰτίαν ἐξετελέσατο | τὴν τῶν θιασιτῶν βούλησιν καὶ τὴν τῶν θεῶν τιμήν, | καθάπερ ἥρμοττεν αὐτῶι ὑπὲρ δικαίου. Ἀπη(ρ)κὼς δὲ | καὶ πλείονας ἐν τοῖς ἁρμόζουσιν καιροῖς, εἴρηκεν | δὲ καὶ ὑπὲρ τῆς συνόδου ἐν τῶι ἀναγκαιοτάτωι || καιρῶι τὰ δίκαια μετὰ πάσης προθυμίας καὶ φιλοτι|μίας καὶ ἐδέξατό τε τὸν θίασον ἐφ' ἡμέρας δύο ὑπὲρ | τούτων· ἵνα οὖν καὶ εἰς τὸν λοιπὸν χρόνον ἀπαρά|κλητον ἑαυτὸν παρασκευάζηι καὶ ἡ σύνοδος φαί|νηται φροντίζουσα τῶν διακειμένων ἀνδρῶν εἰς ἑαυ||τὴν εὐνοϊκῶς, καὶ ἀξίας χάριτας ἀποδιδοῦσα τοῖς | εὐεργέταις, καὶ ἕτεροι πλείονες τῶν ἐκ τῆς συνό|δου διὰ τὴν εἰς τοῦτον εὐχαριστίαν ζηλωταὶ γί|νωνται καὶ παραμιλλῶνται, φιλοτιμούμενοι | περιποιεῖν τι τεῖ συνόδωι· — ἀγαθεῖ τύχει, || δεδόχθαι τῶι κοινῶι τῶν Τυρίων Ἡρακλεϊστῶν | ἐμπόρων καὶ ναυκλήρων· ἐπαινέσαι Πάτρωνα Δω|ροθέου καὶ στεφανῶσαι αὐτὸν κατ' ἐνιαυτὸν χρυ|σῶι στεφάνωι ἐν ταῖς συντε|λουμέναις θυσίαις | τῶι Ποσειδῶνι, ἀρετῆς ἕνεκεν καὶ καλοκἀγαθί||ας, ἧς ἔχων διατελεῖ εἰς τὸ κοινὸν τῶν Τυρί|ων ἐμπόρων καὶ ναυκλήρων· ἀναθεῖναι δὲ αὐ|τοῦ καὶ εἰκόνα

γραπτὴν ἐν τῶι τεμένει τοῦ Ἡρακλέους καὶ ἀλλαχῇ οὗ ἂν αὐτὸς βούληται· ἔσ|τω δὲ ἀσύμβολος καὶ ἀλειτούργητος ἐν ταῖς || γινομέναις συνόδοις πάσαις. Ἐπιμελὲς δὲ ἔστω | τοῖς καθισταμένοις ἀρχιθιασίταις καὶ ταμίαις | καὶ τῶι γραμματεῖ, ὅπως ἐν ταῖς γινομέναις θυ|σίαις καὶ συνόδοις ἀναγορεύηται κατὰ ταύτην | τὴν ἀναγόρευσιν· Ἡ σύνοδος τῶν Τυρίων ἐμπό||ρων καὶ ναυκλήρων στεφανοῖ Πάτρωνα Δωροθέου | εὐεργέτην. Ἀναγραψάτωσαν δὲ τόδε τὸ ψή|φισμα εἰς στήλην λιθίνην καὶ στησάτωσαν ἐν | τῶι τεμένει τοῦ Ἡρακλέους· τὸ δὲ ἐσόμενον ἀνήλωμ[α] | εἰς ταῦτα μερισάτω ὁ ταμίας καὶ ὁ ἀρχιθιασίτης. ||

Ἐπὶ ἀρχιθιασίτου | Διονυσίου τοῦ Διονυσίου, | ἱερατεύοντος δὲ | Πάτρωνος τοῦ Δωροθέου. |

Ὁ δῆμος || ὁ Ἀθηναίων. |

Ἡ σύνοδος || τῶν Τυρίων | ἐμπόρων | καὶ ναυκλήρων.

999. Céos. **Décret d'un thiase de Sérapistes en l'honneur d'un bienfaiteur.** (iii^e s. [?] av. J.-C.)

Trouvé à Céos. — Foucart, *Associations religieuses*, n° 42. — Cf. Pridik, *De Cei insulae rebus*, p. 135.

Ἔδοξεν τοῖς Σαραπι/σταῖς· | Ἐπειδὴ Ἐπαμείνων Σωμένου | ἀνὴρ καλὸς κἀγαθὸς ὢν διατε|λεῖ περὶ τὸν θίασον καὶ φιλότι||μος, χρείας τε γενομένης ἀργυ|ρίου εἰς ξυλωνίαν τῶι θιάσωι προ|εισήνεγκε τὸ ἀργύριον ἄτοκον· [ὅ]|πως οὖν ἔχωμεν καὶ εἰς τὸ λοιπὸν | ἀνδράσιν φιλοτίμοις χρᾶσθαι· δε|δόχθαι τοῖς Σαραπι/σταῖς· ἐπαινέ|σαι Ἐπαμείνονα Σωμένου ἀρετῆς | ἕνεκεν καὶ φιλοτιμίας ἣν ἔχων δια|τελεῖ περὶ τὸν θίασον καὶ στεφανῶ|σαι αὐτὸν θαλλοῦ στεφάνωι καὶ ἀ||νακηρύξαι τὸν στέφανον τοῖς | Εἰσιδείοις.

1000. Paros. **Cotisations versées par une association de courtisanes** [?]. (Comm. du i^{er} s. av. J.-C.)

Plaque de marbre blanc brisée en deux morceaux, incomplète en bas. Trouvée dans une maison de Parikia (Paros). — Pernice, *Athen. Mitth.*, XVIII (1893), p. 16 s. — Cf. Maass, *Ibid.*, p. 21 s. — M. Ad. Wilhelm a bien voulu nous communiquer ses lectures nouvelles, qu'il se propose de publier prochainement. — Nous avons supprimé à la fin quelques lignes mutilées.

--- | Ἐπ' ἄρχοντος Θεόφρονος τοῦ Δειφά|νου· νεωκοροῦντος Ἀκέσιος· | καὶ Σοιστρ[ο]ῦς ἱερῆς ἐλόγευσε[ν] || εἰς ἐπισκευὴν τῆς κρήνης καὶ | τοῦ βωμοῦ καὶ τοῦ θαλάμου· | Μυλλὶς Χάρητος ε'. Πνυτὼ Εὐαγό(ρου) | ꟶ'. Φιλακὼ Εὐαγό(ρου) γ'. Ἀσπασία

Toucartet Picolik ont Σαραπιαστας

Χάρη(τος) | εʹ. Μνήσιον Τιμησί(ου) ϛʹ. Ἀσπασία Τεισή(νορος) ϛʹ. || Παιδαρχὶς Τιμή(νορος) γʹ. Φίλισσα Τιμησί(ου) ϛʹ. | Ἐρασίππη Ἀρχελά(ου) εʹ. Μελίνιον Μνησιέ(πους) | ϛʹ. Μυλλὶς Κρίτω(νος) γʹ. Τιμαρέτη Τιμησί(ου) ϛʹ. | Ἐρασίππη Μνη(σίου) ϛʹ. Μάλθιον Ἐπιάνα(κτος) εʹ. | Μάλθιον Φίλω(νος) εʹ. Φιλυτὼ Γόργου εʹ. || Ἁρπάλη Προσθέ(νου) ϛʹ. Πεκὼ Τιμά(ρχου) γʹ. | Φανοδίκη Πάρω(νος) γʹ. Μάλθιον Προσθέ(νου) | αʹ. Π[ρ]ωτὼ Μνη(σίου) γʹ. Τιμαρέτη Γόργου εʹ. | [Κ]λειναρὼ Πυθίπ(που) γʹ. Τιμαρέτη Κλι(νίου) | -. Τιμαρέτη Ἐπιάνα(κτος) βʹ. Ἐρασίπ(π)η Κρα(τίνου) βʹ. || Ἀρχὶς Ἀρχετί(μου) βʹ. Φρυνὶς Κλε[--. | Γ]οργὶς Κλεο[δή](μου) αʹ. Τιμησαρίστ[η -]. | Ἀσπασία [Π]αττα(--) βʹ. Εἴσιον Δεξι(κράτου) βʹ. | [.....κρ]ίτη αʹ. Ζωσίμη αʹ. Ἀγλαὶς Ι. | [Πρ]ωτὼ Ἀλκί(ου) γʹ. Ἀσπασία Ἀλεξάν(δρου) αʹ. || Γλύκιννα βʹ. Πατροφίλα Φίλω(νος) γʹ. | Ἀσπασία [Ν]ικαγό(ρου) γʹ. Σώτειρα Δή(μωνος) ΙΙΙ. | Π[α]ιδαρχὶς Ἀρχέ(ου) βʹ. Ζωσίμη Αἰχρί(ου) αʹ. | [Ε]ἴσιον Θεοδώ(ρου) βʹ. Σωτρὼ Ἀκέσιος αʹ. | ..τροξένα αʹ. Κλεοπάτρα ΙΙΙ. || [Ἀγαν]ίππη Μητρο(δώρου) αʹ. Εὐημερία Γλύ(κωνος) εʹ. | [Διο]τίμη Ζωΐ(λου) ΙΙΙ. Λαὶς Μνη(σίου) αʹ. ---

1001. Théra. **Communauté de famille instituée par Épictéta. Fondation testamentaire.** (Vers 200 av. J.-C.)

Quatre plaques de marbre, transportées en Crète, puis à Venise, enfin à Vérone. — C.I.G., 2448. — Schulin, *Das griech. Testament*, 1882, p. 44 s. — Cauer, 148. — Ricci, *Monumenti Antichi*, II (1893), p. 69 s. — Dareste, Haussoullier et Reinach, *Inscr. Jurid. Gr.*, xxiv^a (II, p. 77 s.). — I.G.Ins., III, 330. — Cf. Keil, *Hermes*, XXIII (1888), p. 289 s. — Homolle, Ἐφημ. Ἀρχ., 1894, p. 141 s. — Ziebarth, *Griech. Vereinsw.*, p. 7 s. — Le texte est disposé en huit colonnes.

Ἀνδραγόρας Φοίνικος, Ἐπικτήτα Γρίννου,
Κρατησίλοχος Φοίνικος, ... |

I. Ἐπὶ ἐφόρων τῶν σὺν Φοιβοτέλει | τάδε διέθετο νοοῦσα καὶ φρονοῦσα Ἐπικτήτα | Γρίννου μετὰ κυρίου Ὑπερείδους τοῦ Θρα|συλέοντος, συνευαρεστούσας καὶ τᾶς θυγα||τρὸς Ἐπιτελείας τᾶς Φοίνικος.

Εἴη μέν μοι ὑγιαι|νούσαι καὶ σωιζομέναι τὰ ἴδια διοικε̃ν· εἰ δέ τί κα | γένηται περί με τῶν ἀνθρωπίνων, ἀπολείπω | κατὰ τὰν γεγενημέναν μοι ὑπὸ τοῦ ἀνδρὸς | Φοίνικος ἐντολάν, τοῦ καὶ κατασκευαξαμένου || τὸ μουσεῖον ὑπὲρ τοῦ μεταλλαχότος ἁμῶν | υἱοῦ Κρατησιλόχου καὶ ἀγαγόντος τὰ ζῶια | καὶ τὸς ἀνδριάντας ἑαυτοῦ τε καὶ Κρατησι|λόχου καὶ τὰ ἡρῶια καὶ ἐνευξαμένου, ὥστε | κατασκευάξαι με τὸ μουσεῖον καὶ θέμεν τάς || τε Μούσας

καὶ τὸς ἀνδριάντας καὶ τὰ ἡρῶια· | μετὰ δὲ δύο ἔτη τοῦ ἀπολελειμμένου ἔτι | μου υἱοῦ Ἀνδραγόρα μεταλλάσσοντος τὸν | βίον καὶ ἐντειλαμένου ἐπιτελῆ με ποιῆσαι | τὰν τοῦ πατρὸς αὐτοῦ Φοίνικος ἐντολὰν καὶ || θέμεν καὶ ὑπὲρ αὐτοῦ, ὡς καὶ ὑπὲρ τοῦ πατρὸς | καὶ τοῦ ἀδελφοῦ, τόν τε ἀνδριάντα καὶ τὸ ἡ|ρῶιον καὶ συναγαγὲν κοινὸν ἀνδρείου τῶν συγ|γενῶν καὶ δόμεν τῶι κοινῶι τοῦ ἀνδρείου δρα|χμὰς τρισχιλίας πόθοδον, ἀφ᾽ οὗ συναχθη||σοῦντι· ἐπιτετελεκεῖα οὖν καὶ ἑστακεῖα πάν|τα κατὰ τὰς ἐκείνων ἐντολὰς καὶ τὸ κοινεῖ<ν>|ον συναγαγοχεῖα τῶν συγγενῶν, ὧν καὶ τὰ ὀνό|ματα ὑπογέγραπται, ὥστε συνάγεσθαι τὸ κοι|νὸν ἐν τῶι μουσείωι, δίδωμι δραχμὰς τρισχι||λίας τῶι προδεδηλωμένωι κοινῶι τοῦ ἀνδρεί|ου τῶν συγγενῶν, ὥστε ὀφείλεσθαι αὐτὰς
II. ἐπὶ | τοῖς ὑπάρχουσί μου αὐτοκτήτοις χωρίοις τοῖς || ἐμ Μελαιναῖ[ς ----]σι[-- ἀπὸ τῶν κλα]|ρονόμων καὶ -----------|χου.

Ἀπολείπω δὲ τὸ μουσεῖον [καὶ τὸ τέμενος] | τῶν ἡρώιων τᾶι θυγατρί μου Ἐ[πιτελείαι, ὥσ]||τε παραλαβοῦσαν αὐτὰν καὶ τὰ[ν πόθοδον τῶν] | ἄλλων μοι ὑπαρχόντων τελὲν κα[θ᾽ ἕκασ]|τον ἔτος ἐμ μηνὶ Ἐλευσυνίωι δραχμὰ[ς δια]|κοσίας δέκα τῶι κοινῶι τοῦ ἀνδρείου [οὗ συν]|αγάγοχα τῶν συγγενῶν.

Μὴ ἐχέτω [δὲ ἐξου]|σίαν μηθεὶς μήτε ἀποδόσθαι τὸ μουσεῖον [μή]|τε τὸ τέμενος τῶν ἡρώιων, μηδὲ τῶν ἀγαλ|μάτων τῶν ἐν τῶι μουσείωι μηδὲ τῶν ἐν | τῶι τεμένει τῶν ἡρώιων μηθέν, μήτε κατα|θέμεν, μήτε διαλλάξασθαι, μήτε ἐξαλλο||τριῶσαι τρόπωι μηθενὶ μηδὲ παρευρέσει | μηδεμιᾶι, μηδὲ ἐνοικοδομῆσαι ἐν τῶι τε|μένει μηθέν, εἴ κα μή τις στοὰν οἰκοδομῆσαι | προαιρεῖται, μηδὲ χρῆσαι τὸ μουσεῖον μηθενί, | εἴ κα μή τις τῶν ἐξ Ἐπιτελείας γάμον ποιῇ· || εἰ δὲ μή, κωλυέσθω ὑπὸ τοῦ κοινοῦ καὶ κύρι|ον ἔστω τὸ κοινον κωλῦον τὸν τούτων τι ποι|οῦντα. Μὴ ἐχέτω δὲ ἐξουσίαν μηδὲ ἐξενέγκαι τῶν ἐν τῶι μουσείωι ὄντων μηθέν· εἰ δὲ μή, | κωλυέσθω ὑπὸ τοῦ κοινοῦ τῶν συγγενῶν || καὶ κύριον ἔστω κωλῦον.

Τὰν δὲ ἱερατείαν τᾶν | Μουσᾶν καὶ τῶν ἡρώιων ἐχέτω ὁ τᾶς θυγα|τρός μου υἱὸς Ἀνδραγόρας, εἰ δέ τί κα πάθῃ οὗ|τος, ἀεὶ ὁ πρεσβύτατος ἐκ τοῦ γένους τοῦ Ἐπι|τελείας.

Ὁ δὲ ἀνδρεῖος τῶν συγγενῶν συν||αγέσθω ἐν τῶι μουσείωι καθ᾽ ἕκαστον ἔτος | ἐμ μηνὶ Δελφινίωι, λαμβάνων παρὰ τῶν δι|αδόχων μου τὰς διακοσίας δέκα δραχμάς, | ἁμέρας τρεῖς ἀποδείξας ἐπιμηνίος ἐξ αὐ|τῶν, καὶ θυέτω τᾶι μὲν ἐννεακαιδεκάται ||
III. ταῖς Μούσαις, τᾶι δὲ εἰκάδι τοῖς ἥρωσιν <φοι> || Φοίνικι καὶ Ἐπικτήται, τᾶι δὲ ἀμφεικάδι | Κρατησιλόχωι καὶ Ἀνδραγόραι.

Εἰ δέ κα μὴ ἀπο<ι>|δῶι Ἐπιτέλεια [ε]ἶ οἱ κλαρονόμοι αὐτᾶς ἐν τῶι Ἐ|λευσυνίωι μηνὶ τῶι ἀνδρείωι τῶν συγγενῶν | τὰς διακοσίας δέκα δραχμάς, ἔστω ἁ καρπεία | τῶν προδεδηλωμένων χωρίων τῶν ἐμ Μελαι|ναῖς τοῦ κοινοῦ τοῦ ἀνδρείου τῶν συγγενῶν | ποτὶ τὰς διακοσίας δραχμάς· εἰ δέ κα προαιρῶνται | τὰν ἀσφάλειαν [δ]όμεν οἱ διάδοχοί μευ τῶι κοινῶι | τοῦ ἀνδρείου τᾶν τρισχιλιᾶν δραχμᾶν, καὶ ἐς ἄλλα | χωρία, ἐξουσίαν ἐχόντων διδόντες ἀσφαλεῖς | τὰς ὑποθήκας.

Τῶν δὲ συγγενῶν, ὧν συναγά|γοχα, ὀνόματά ἐστι τὰ ὑπογεγραμμένα· | Ὑπερείδης Θρασυλέοντος, Ἀντισθένης Ἰσοκλεῦς, | κατὰ δὲ υ[ἱ]οθεσίαν Γρίννου, Ἀριστόδαμος Ἰσοκλεῦς, | Τιμήσιος Πραξιτέλους, Εὐαγόρας Προκλείδα, | Προκλείδας Εὐ[α]γόρα, Καρτιδάμας Προκλείδα, | Ἁγνο(σ)θένης Καρτιδάμα, Προκλείδας Ἀλκιμέδοντος, | Βωλακράτης Ἀγ|λ ωσθένους, Ἀρχίνικος Γοργώπα, Στάρτοφος Βω[λ]ακράτους, Γοργώπας Ἀρχινίκου, | Γοργώπας Ἐχε[σ]τράτου, Γοργώπας Καρτιδάμα, | Ἀγαθόστρατος [Κρ]ατησιλόχου, Μόλλις Πολυμήδους, | Καρτιδάμας καὶ Κρατησίλοχος καὶ Δίων | καὶ Δωροκλείδας οἱ Ἀγαθοστράτου || Ἵμερτος Ἱμερο[φ]ῶντος, Κρίτος Τεισάνορος, | Πολύνικος καὶ Εὐαγόρας οἱ Σωτέλους. |

Πορευέσθωσαν δὲ καὶ αἱ τούτοις συνοικοῦσαι γυ|ναῖκες καὶ τὰ τέκνα αὐτῶν, τὰ μὲν θήλεια ἕως | κα ᾖ ὑπὸ τὸν πατέρα, τὰ δὲ ἄρσενα καὶ ἐν ἁλικίαι γε||νόμενα, καὶ τὰ ἐκ τούτων κατὰ τὰ αὐτά. Πορευέσ|θων δὲ καὶ αἱ ἐπίκλαροι καὶ οἱ συνοικοῦντες αὐ|ταῖς καὶ τὰ ἐκ ταυτᾶν τέκνα κατὰ τὰ αὐτὰ τοῖς προ|γεγραμμένοις· πορευέσθω δὲ καὶ ἁ ὁμώνυμός | μου Ἐπικτήτα καὶ ἁ θυγάτηρ μου Ἐπιτέλεια καὶ || αἱ Γοργώπα θυγατέρες Μνασὼ καὶ Αἰνησίππα, | καὶ αἱ Θρασυλέοντος θυγατέρες, Βασιλοδίκα | καὶ Τελεσίππα, καὶ Καλλιδίκα ἁ Ἰσοκλεῦς, καὶ οἱ | ταύταις συνοικοῦντες· πορευέσθω δὲ καὶ ἁ Ἀρι|στάρχου θυγάτηρ Ἐπιτέλεια, καὶ τὰ ἐκ ταυτᾶν τέκνα. || Μάρτυρες Χαρ- - - - - Εὐαγόρας Προκλείδα, | Ἀντισθένης [Ἰσοκλεῦς - - -].

IV. Ἐπὶ ἐφόρων τῶν σὺν Ἱμέρτωι, Διοσθύου. | Ἐπειδὴ Ἐπικτήτα Γρίννου, μετὰ κυρίου τοῦ τᾶς | θυγατρὸς ἀνδρὸς Ὑπερείδους τοῦ Θρασυλέον||τος, συνευαρεστούσας καὶ τᾶς θυγατρὸς αὐ τᾶς Ἐπιτελείας, ἐπιδέδωκε ἐς θυσίαν ταῖς | Μούσαις καὶ τοῖς ἥρωσι καὶ ἐς ἀνδρείου τῶν συγ|γενῶν συναγωγάν, κατὰ διαθήκαν, δραχμὰς | τρισχιλίας, ἐς ἃς καὶ λαμβάνεν καθ' ἕκαστον | ἔτος παρὰ τῶν διαδόχων αὐτᾶς δραχμὰς δι|ακοσίας δέκα, ὥστε γίνεσθαι τὰν συναγω|γὰν ἐπ' ἁμέρας τρεῖς ἐν τῶι μουσείωι, ὧι

αὐτὰ | κατεσκεύωκε ὑπέρ τε τοῦ ἀνδρὸς αὐτᾶς Φοί|νικος καὶ αὐτᾶς καὶ τῶν υἱῶν Κρατησιλόχου || καὶ Ἀνδραγόρα, καὶ θύεν τὸν μὲν τὰν πράταν ἐπι|μηνιεύοντα ταῖς Μούσαις, τὸν δὲ τὰν δευτέ|ραν τοῖς ἥρωσι Φοίνικι καὶ Ἐπικτήται, τὸν δὲ | τὰν τρίταν τοῖς ἥρωσι Κρατησιλόχωι καὶ Ἀν|δραγόραι· ἀγαθᾶι τύχαι, δεδόχθαι· τάν τε ἐπαγ||γελίαν ἀποδέξασθαι αὐτᾶς καὶ ποιεῖσθαι τὰν | <ταν> συναγωγὰν ἀπὸ τοῦ πράτου ἀλείμματος | καὶ ἐπιχεῖσθαι πάντας ἀπὸ δείπνου, ἐπὶ τὸ πρᾶ|τον ποτείριον, τᾶν τε Μουσᾶν καὶ Φοίνικος καὶ Ἐπι κτήτας καὶ Κρατησιλόχου καὶ Ἀνδραγόρα.

Τὰν || δὲ συναγωγὰν τοῦ ἀνδρείου τῶν συγγενῶν | γίνεσθαι ἐμ μηνὶ Δελφινίωι ἐν τῶι μουσείωι, κα|θ᾽ ἕκαστον ἔτος ἁμέρας τρεῖς, καὶ λειτουργὲν | ἅπαξ, ἀνὰ πρεσβύτατα, δωρεὰν πάντας, ὁμοί|ως δὲ καὶ τὸς ἐκ τούτων γενομένος καὶ παρα||γινομένος ἐς τὸ κοινεῖον λειτουργὲν, γενο|μένος ἐκ τῶν ἐφήβων, τὰν πράταν ἐπιμηνιεί|αν δωρεάν.

Παρεξοῦντι δὲ οἱ δωρεὰν ἐπιμη|νιεύοντες οἶνον ξενικὸν ἱκανὸν δόκιμον ἕως | τριῶν πινόντων, στεφάνος, μουσικόν, μύρον· || εἰ δέ κά τις μὴ ἐπιμηνιεύσηι κατὰ τὰ γεγραμμέ|να, ἀποτεισάτω τῶι κοινῶι δραχμὰς ἑκατὸν καὶ | πρασσέσθω ὑπὸ τοῦ [κατα]τυγχά-
V. νοντος ἀρτυ||τῆρος κατὰ [τὸς] νόμος, καὶ μὴ μετεχέτω τοῦ | κοινοῦ ἐς ὅ κα ἐκτείσῃ.

Ἐπὶ δὲ ταῦτα τὰ ἔτη | τὰν πίπτουσαν πόθοδον τῶι κοινῶι ὁ κατα|τυγχάνων ἀρτυτὴρ πράξας, ἀποδιδότω ἐπὶ || σύλλογον, καὶ ἐ[γ]δανειζέσθω ὑπὸ τῶν αἱρε|θέντων ἐγδανειστᾶν ἐπὶ ὑποθήκαις ἐγγαί|οις ἀξιοχρέοις, χωρὶ τοῦ ἀφαιρουμένου ἐς | τὰς θυσίας ταῖς τε Μούσαις καὶ τοῖς ἥρωσι | κατὰ τὰν διαθήκαν· ἀφαιρούντων δὲ καὶ συλ||λογευτικόν, μὴ πλεῖον δραχμᾶν δέκα πέν|τε.

Εἰ δέ κα ἐγ δωρεᾶς ἐπιμήνιοι μηκέτ᾽ ὦντι, | δεξοῦντ[αι] κατὰ τὸ ἑξὰν ἀνὰ πρεσβύτατα | πάντες οἱ παραγινόμενοι, καθὼς γέγραπται | καὶ τὸς δωρεὰν δεχομένος, καὶ λαμψοῦνται || παρὰ τοῦ ἀρτυτῆρος δραχμὰς πεντήκοντα | πρὸ τοῦ τὰν σύνοδον ἦμεν πρὸ ἁμερᾶν δέ|κα· εἰ δέ κα μὴ δέξηται λαβών, ἀποτεισάτω | δραχμὰς ἑκατὸν πεντήκοντα, καὶ πραξά|τω αὐτὸν ὁ ἀρτυτὴρ καὶ ἐνεχύραστος ἔσ|τω αὐτῶι κατὰ τὸς νόμος· ἐς ὃ δέ κα ἐκτεί|σῃ, μὴ μετεχέτω τοῦ κοινοῦ. Ἐπιμηνιευσά|τω δὲ κατ᾽ αὐτὸν ὁ ἀρτυτὴρ καὶ κομισάσθω | ἀπὸ τᾶν π[ο]θόδων πρᾶτος.

Τὸ δὲ δεῖπνον | γινέσθω, ὥς κα δόξει τῶι κοινῶι καὶ ἀφ᾽ ὁ||σου κα δόξει.

Ὁ δὲ ἀρτυτὴρ εἴ κα μὴ ἐξοδιά|ξει τοῖς ἐπιμηνίοις κατὰ τὰ γεγραμμένα, ὁ | μὲν ἐπιμήνιος πάντως δεχέσθω καὶ θυ|έτω τὰν

ἐπιβάλλουσαν αὐτῶι θυσίαν, ὁ δὲ | ἀρτυτὴρ ὧι κα μὴ ἐξοδιάξει ἐπιμηνίωι ὀφει||λέτω δραχμὰς ἑκατὸν πεντήκοντα, καὶ ἁ | πρᾶξις ἔστω τῶι μὴ λαβόντι κατὰ τοῦ ἀρτυ|τῆρος κατ' ἐνεχυρασίαν κατὰ τὸς νόμος, καὶ | μὴ μετεχέτω τοῦ κοινοῦ, ἐς ὅ κα ἐκτείσῃ.

Θυ|έτω δὲ ὁ μὲν τὰν πράταν ἐπιμηνιεύων ἁμέ||ραν ταῖς Μούσαις ἱερεῖον καὶ ἱερά, ἐλλύτας | ἐκ πυρῶν χοινίκων πέντε καὶ
VI. τυροῦ καπυ||ροῦ στατῆρος· παρέξει δὲ καὶ στεφάνος τοῖς | θεοῖς καὶ τὰ λοιπὰ τὰ ποτὶ τὰν θυσίαν πάντα· | ἀπὸ δὲ τούτων καρπώσει τοῖς θεοῖς τά τε ἐ|κ τοῦ ἱερείου νενομισμένα ἱερὰ καὶ ἐλλύταν.

Ὁ || δὲ τὰν δευτέραν, τοῖς ἥρωσι Φοίνικι καὶ Ἐπι|κτήται, ἱερεῖον καὶ ἱερά, ἐλλύτας ἐκ π[υ]ρῶν χοι|νίκων πέντε καὶ τυροῦ καπυροῦ στατῆρος· | παρέξει δὲ καὶ στεφάνος τοῖς ἥρωσι καὶ τὰ λοι|πὰ τὰ ποτὶ τὰν θυσίαν πάντα καὶ καρπώσει τά || τε ἐκ τοῦ ἱερείου νομιζόμενα ἱερὰ καὶ ἐλλύ|ταν καὶ ἄρτον καὶ πάρακα καὶ ὀψάρια τ[ρί|α.

Ὁ δὲ | τὰν τρίταν, θύσει τοῖς ἥρωσι Κρατησιλόχωι καὶ | Ἀνδραγόραι κατὰ τὰ αὐτὰ καθὰ γέγραπται θύ|εν Φοίνικι καὶ Ἐπικτήται.

Οἱ δὲ ἐπιμήνιοι οἱ θύον||τες τὰς θυσίας ταύτας ἀποδωσο[ῦ]ντι τῶι | κοινῶι τός τε ἐλλύτας πάντας καὶ τῶν | σπλάγχνων τὰ ἡμίση, τὰ δὲ λοιπὰ ἑξοῦντι | αὐτοί· ὁ<ι> δὲ ἀρτυτὴρ διελεῖ τὰ ἱερὰ τοῖς παρο ῦσι.

Εἰ δέ κα ᾖ ἐπιμηνιεία δωρεάν, πωλείτω ὁ ἐ||πίσσοφος ὅστις θύσει τὰς θυσίας [τ]αύτας | κατὰ τὰ γεγραμμένα, ὅσου δέ κα ἀποδῶται, ὁ ἀρτυτὴρ ἐξοδιαζέτω.

Αἱρείσθω δὲ τὸ κοινὸν | καὶ ἐπίσσοφον· ὁ δὲ αἱρεθεὶς συναγέτω σύλ|λογον καθ' ἐνιαυτὸν ἐν τᾶι δευτέραι ἁμέραι, || καὶ προνοείσθω πάντων τῶν κατὰ τὸ κοινόν, | ὅπως διοικῆται τὰ γεγραμμένα ἔν τε τᾶι δια|θήκαι καὶ τῶι νόμωι, καὶ ἐνγραφέτω τός τε | ἐπιμηνίος καὶ τὸν ἀρτυτῆρα ἀνὰ πρεσβύτα||τα καὶ ἐπίσσοφον καὶ ἐγδανειστὰς καὶ εἴ κά | τις μὴ ἐπιμηνιεύσει, ὀφείλοντα τ[ὸ ἐ]κ τοῦ νό|μου ἐπίτιμον, καὶ εἴ τί κα ἄλλο αὐτῶι ἐπιβάλ|λει ἐγγράφεν κατὰ τὸν νόμον εἰ τὰν διαθήκαν | καὶ τὰ δόξαντα τῶι κοινῶι· γραφέτω δὲ καὶ τὰν | ἔσοδον καὶ ἔξοδον τὰν γινομένα[ν ἐπ'] αὐτοῦ, || καὶ εἴ τί κα ἄλλο ὀφείλειται τῶι κοινῶι· εἰ δέ κα | μὴ ποεῖ τὰ ποτιτεταγμένα, ὀφειλέτω τῶι
VII. κοι||νῶι δραχμὰς τριακοσίας, καὶ τοῦ κοινοῦ | μὴ μετεχέτω, ἐς ὅ κα ἐκτείσῃ, καὶ πρακτὸς | ἔστω ὑπὸ τῶν αἱρεθέντων ἀνδρῶν ὑπὸ | τοῦ κοινοῦ κατ' ἐνεχυρασίαν κατὰ τὸς νό||μος.

Ὁ δὲ ἀρτυτὴρ ὁ αἱρεθεὶς πράξει τὰ ὀ|φειλόμενα τῶι κοινῶι κατά τε τὰν διαθή|καν καὶ τὰ λοιπὰ πάντα τὰ παραγραφέντα |

αὐτῶι ὑπὸ τοῦ ἐπισσόφου, καὶ ἐξοδιάξει | τοῖς τε ἐπιμηνίοις τὰ γεγραμμένα ἐν | τοῖς νόμοις καὶ τὸ συλλογευτικὸν καὶ | τὰ ἐς τὰς θυσίας ὅκα κα μὴ ὦντι πραταί, | καὶ εἴ τί κα ἄλλο δόξει τῶι κοινῶι· τὰ δὲ λοι|πὰ ἀποδώσει ἐπὶ σύλλογον. Εἰ δέ κα μὴ ἐ|ξοδιάξει τι τῶν γεγραμμένων εἴ τὰ πε||ρισσὰ χρήματα μὴ ἀποδῷ ἐπὶ σύλλογον, | ὀφειλέτω ὅ κα τούτων μὴ ποιήσει δι|πλοῦν τῶι κοινῶι τὸ χρῆμα, καὶ ἐγγραφέ|τω αὐτὸν ὁ ἐπίσσοφος ἐς τὰ τοῦ κοινοῦ | γράμματα, ὅ κα μὴ ποήσει τούτων ὀφεί||λοντα διπλοῦν· καὶ τοῦ κοινοῦ στερέσθω | ἐς ὅ κα ἐκτείσει, καὶ πρακτὸς ἔστω ὑπὸ | τῶν αἱρεθέντων ἀνδρῶν ἀπὸ ἐνεχυρα|σίας κατὰ τὸς νόμος· τοῖς δὲ ἐπιμηνίοις | εἴ κα μὴ ἐξοδιάξει, ἔστω κατ᾽ αὐτοῦ τὰ γε||γραμμένα ἐν τῶι νόμωι.

Ὅπως δὲ πάντα | διοικεῖται κατά τε τὰν διαθήκαν καὶ τὸν | νόμον καὶ τὰ δόξαντα τῶι κοινῶι δυνα|τῶς ἐς πάντα τὸν χρόνον, αἱρείσθω τὸ | κοινόν, εἴ κά τινες μὴ ποιῶντι τὰ κατὰ || τὸν νόμον εἴ τὰν διαθήκαν εἴ τὰ δόξαν|τα, ἄνδρας ὅσος κα δόξει, οἵτινες πάντα | πραξοῦντι καθότι κα δόξει τῶι κοινῶι· | καὶ ἐγγραφέτω καὶ τὰν τούτων αἵρεσιν ὁ | ἐπίσσοφος· εἰ δέ κα ὁ ἐπίσσοφος μὴ προ||αιρεῖται ἐγγράφεν παραχρῆμα, τὸ κοινὸν ἀ|πο[δειχθή]τω
VIII. ἄνδρα τὸν ἐγγραψοῦντα· ὁ δὲ || αἱρεθεὶς γραφέτω πάντα τὰ δόξαντα | τῶι κοινῶι.

Ἃ δέ κα δόξει τοῖς πλείοσι τοῦ | κοινοῦ, ταῦτα κύρια ἔστω πλ[ὰ]ν ὑπὲρ δια|λύσεως. Ὑπὲρ δὲ τούτου, μὴ ἐχέτω ἐξου||σίαν μηθεὶς μήτε εἶπαι μήτε γράψαι, ὡς δε|είσῃ διαλῦσαι τὸ κοινὸν εἴ τὰς θυσίας τὰς | προγεγραμμένας, εἴ τῶν τοῦ κοινοῦ τι | κακῶσαι ἢ διελέσθαι ἢ τοῦ ἀρχαίου τι κα|ταχρήσασθαι· εἰ δέ τίς κα ἢ εἴπῃ ἢ γράψει, || τό τε ῥηθὲν ἢ γραφὲν ἄκυρον ἔστω, καὶ ὁ | εἴπας ἢ γράψας στερέσθω τοῦ κοινοῦ καὶ ὀ|φειλέτω αὐτῶι δραχμὰς πεντακοσίας | καὶ πρακτὸς ἔστω καὶ ἀπὸ ἐνεχυρασίας | κατὰ τὸς νόμος ὑπὸ τοῦ χρήζοντος τῶν || συγγενῶν.

Ὅπως δὲ ἐπίσσοφός τε ἀπο|δειχθῇ καὶ ὁ αἱρεθεὶς ἐγγράφει πάντα τὰ | κατὰ τὸν νόμον, συναχθήτω σύλλογος | ἐπὶ ἐφόρων τῶν σὺν Ἱμέρτωι, μηνὸς Διοσ|θύου δεκάται, καὶ αἱρεθήτω ἐπίσσοφος· || οὗτος δὲ ἐγγραφέτω τά τε κατὰ τὸν | νόμον πάντα, προνοειθήτω δὲ καὶ ὅ|πως ὁ νόμος ἀναγραφῇ καὶ ἁ διαθήκα ἔς | τε τὰν ὑπόβασιν τῶν ἀγαλμάτων τῶν | ἐν τῶι μουσείωι, καὶ ἐς δέλτον ξυλογρα||φηθεῖ, κατασκευωθῇ δὲ καὶ γλωσσόκο|μον, ἐς ὃ ἐμβαλοῦμες τὰ τοῦ κοινοῦ | γράμματα, καὶ ὅπως αἱρεθεῖ ἀνὴρ γραμ|ματοφύλαξ, ὅστις παραλαβὼν διὰ λό<ι>|γου παρὰ τοῦ ἐπισσόφου τάν τε δέλτον | ἔχουσαν τὸν νόμον καὶ τὰν διαθήκαν

ἐ|ξυλογραφημέναν καὶ τὸ γλωσσόκομον | καὶ τὰ ἐν αὐτῶι βυβλία φυλάξει ἐς ὅ κα | δόξει τῶι κοινῶι, καὶ οἴσει ἐπὶ τὸς συλ λόγος· εἰ δέ κα ἄλλον ἕληται τὸ κοινὸν || γραμματοφύλακα, ἀποδώσει τῶι αἱρε|θέντι μετ᾽ αὐτὸν ἐν συλλόγωι δι᾽ ἀπολόγου.

1002. Théra. **Décret des membres d'un gymnase en l'honneur du gymnasiarque.** (Milieu du IIe s. av. J.-C.)

Stèle de porphyre rouge, actuellement au Cabinet des Médailles, à Paris. — C.I.G., 6819. — I. G. Ins., III, 331. — Cf. Riemann, *Bull. de Corr. Hell.*, I (1876), p. 286. — Dittenberger, *Hermes*, XVI (1881), p. 161. — Ch. Michel, *Rev. de Philol.*, XXIII (1899), p. 50.

Ἔδοξε τοῖς ἀλειφομένοις· Ἐπειδὴ | Βάτων Φίλωνος πρότερον μὲν | ἐφ᾽ ἔτη δύο προχειρισθεὶς γυμνασί|αρχος προεστάτησε ἐνδόξως || καὶ καταξίως αὐτοῦ τε καὶ τῆς τῶν | ἀλειφομένων προαιρέσεως τοῦ | γυμνασίου, ἀνθ᾽ ὧν τὸ κοινὸν εὐδο|κιμήσαντα ἐστεφάνωσεν αὐτὸν | ἐπὶ τὰ προειρημένα ἔτη δύο θαλ||λοῦ στεφάνωι, καὶ τὴν περὶ τούτων | ἀναγραφὴν ὑπομνήματος χάριν | εἰς τὸ γυμνάσιον κ(α)τακεχώρικεν φι λοτιμίας ἕνεκεν καὶ τῆς λοι[π]ῆς ἐ|[π]ιμελείας ἧς ἔχων διετέλεσεν εἰς αὐτούς, πάλιν τε εἰς τὸ κϛ′ καὶ ζκ′|L καὶ ηκ′L ἀξιωθεὶς ὑπέμεινε γυ|μνασιαρχῆσαι, καὶ τὴν ἁρμόζουσαν εὐ|ταξίαν αὐτός τε συνετήρησεν καὶ | τοῦ τόπου καὶ τῶν ἀλειφομένων ἐ||κτενέστερον καὶ φιλοτιμότερον ἔτι | πολλῶι προεστάτησεν τούς τε τῶι | Ἑρμεῖ καὶ Ἡρακλεῖ τιθεμένους ὑπὲρ | τοῦ βασιλέως γυμνικοὺς ἀγῶνας | συνευκοσμῶν κατὰ τὴν αὐτοῦ δύ||ναμιν καὶ ἰδίαν ἐκτιθεὶς ἆθλα τὰ | καθήκοντα τοῖς ἀγωνιζομένοις, | ἐφ᾽ οἷς θεωροῦν τὸ κοινὸν πᾶσαν | προθυμίαν καὶ σπουδὴν ἐνδεικνύμε|νον αὐτὸν ὑπὲρ τοῦ τόπου στεφάνους || τε χρυσοῦς περιτέθεικεν καὶ γραπτῇ | τετίμηκεν εἰκόνι Βάτωνα Φίλωνος | γυμνασιαρχήσαντα τὸ τρίτον καὶ τέ|ταρτον καὶ πέμπτον ἑξῆς καὶ τὴν ἐν | τῶι προδεδηλωμένωι χρόνωι τῶν νέ||ων προστασίαν εὐσχήμονά τε καὶ | πρέπουσαμ ποιησάμενον· δεδόχθαι δὲ | καὶ νῦν ἐπαινέσαι τε αὐτὸν ἐπὶ τούτοις | καὶ προσεπιστεφανῶσαι πάλιν χρυσῶι | στεφάνωι, καὶ τοὺς μὲν χρυσοῦς στεφά||νους εἰς λεύκωμα καταχωρίσαι· τὸ δὲ δό γ<α>μα τόδε [ἀ]ναγρά[ψ]αι εἰς στήλ(η)ν λιθί|νην καὶ ἀναθεῖναι ἐν τῶι ἐπιφανεστά|τωι τόπωι τοῦ γυμνασίου· προσαξιῶσαι | δὲ αὐτὸν καὶ εις τὸ θκ′L ἔτι γυμνασιαρχῆ|σαι, διότι τοῦτο [π]ράξας ἔσται πᾶσι τοῖς | ἀλειφομένοις κεχαρισμένος. —

Le marbre porte, ligne 13, ΛΟΙΡΗΣ; ligne 14, ΡΙΜΕΛΕΙΑΣ; ligne 41, ΑΝΑΓΡΑΥΑΙ; ligne 45, ΓΡΑΞΑΣ.

1003. Cos. **Décret portant revision des listes de membres d'une communauté religieuse.** (III^e^ s. av. J.-C.)

Marbre formant le chapiteau et le tambour supérieur d'une colonne taillée à huit pans (I-VIII). Actuellement dans l'église d'Antimachia (Cos). — Dubois, *Bull. de Corr. Hell.*, VI (1882), p. 249 s. (trad.). — Le même, *De Co insula*, p. 26 s. — Cauer, 161. — Paton-Hicks, 367. — Müllensiefen-Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 3705. — Nous avons noté par le signe ¦ le commencement de chaque colonne.

Ἐπὶ μονάρχ[ο]υ Πραξ[ιμ|έν]ευς Ὑακινθίου. |

I. Ἔδο[ξ]ε ταῖς φυλαῖς αἷς | μέτεστι τῶν ἱερῶν Ἀ|πόλλωνος καὶ Ἡρακλεῦς | ἐν Ἁλασάρναι. Εὐφίλη||τος Παρμενίσκου τοῦ | Φιλόφρονος εἶπε· Ἐπει|δὴ συμβαίνει δυσεπι|γνώστος ἦμεν τὸς ἀ|ναγεγραμμένος τῶι θε||ῶι διὰ τὸν χρόνον, ὅ|πως οὖν ἐπιγνωσθῶν|τι, τοῖς τε ὑποδεχομέ|νοις εὐπαρακολούθη|τον ὑπάρχηι

II. τὸ π|λῆθος ¦| τῶν μετεχόντων τοῦ ἱε ροῦ· δεδόχθαι, κυρωθέντος τοῦδε τοῦ ψα|φίσματος· ἀπογράφεσ|θαι τὸς μετέχοντας || τοῦ ἱεροῦ, τὸς μὲν ἐνδά|μος ἀρξαμένος ἀπὸ τᾶς | τρίτας τοῦ Ὑακινθίου | ἔστε καὶ τὰν τριακά|δα τοῦ Ἀλσείου· τὸς δὲ ἀ||ποδάμος ἀπογραφόν|τω τοὶ ἐπίτροποι· εἰ δὲ | μή, ἀπογραφέσθων αὐ|τοί,

III. ἐπεί κα παραγένων¦|ται, ἐν τριμήνωι, τὸ ὄνο||μα πατριαστὶ ποτὶ τὸς | ναποίας ἐξαγευμέ|νος καὶ τὰν φυλὰν καὶ | τᾶς ματρὸς τὸ ὄνομα | καὶ τίνος τῶν πολιτᾶν || θυγάτηρ ὑπάρχει· οἷς | (δὲ) δέδοται ἁ πολιτεία, κα|τὰ τίνα νόμον ἢ δόγμα | κοινὸν τοῦ παντὸς δά|μου· ποταπογραφέσ||θων δὲ καὶ τὰν πατρίδα | καὶ τίνος

IV. ἐ[νά]της καὶ | ἀμάτη[ς ἔλαχ|ε. Ὅπως ¦| δὲ μηθένα λάθῃ ἁ ἀπο|γραφά, τοὶ ναποῖαι τοῖς || Ἡρακλείοις, ἐπεί κα μέλ|λωντι κλείνεσθαι τοὶ | φυλέται, προκαρυσσόν|τω ἀπογράφεσθαι κα|τὰ τὰ προγεγραμμένα, || καὶ ἐν τῶι συλλόγωι τὸ | αὐτὸ ποιεύντω· κα|τὰ ταὐτὰ δὲ καὶ ἐν | τῶι Δαλίωι μηνί, ἀρξά|μενοι ἀπὸ τᾶς τετρά||-

V. δος ἐς ὅ κα συντελεσ|[θ]ῶντ[ι τ]αὶ παναγύ[ρει]ς, ¦| προκαρυσσόντω καὶ ἀπογραφόντω· ἐχόν|τω δὲ καὶ ἐμ πόλει ἐκ||χθέματα κατὰ τὰν ἀ|γοράν, ὁπεῖ κα αὐτοῖς | δοκῇ ἐπιτάδειον ἦ|μεν· ἐν δὲ τῶι δάμωι | τὸ ψάφισμα τόδε ἀνα||γράψαντες εἰς λεύκω|μα ἐκτιθέντω πᾶσαν | ἁμέραν φανερὸν σκο|πεῖν τῶι χρήζοντι ὅμ|περ

VI. χρόνον καὶ ἁ ἀπο||γραφὰ ὑπάρχει· καὶ τὸς ¦| ἀπογραψαμένος κα|ταχρηματιζόντω | καθότι καὶ τἆλλα | γράμματα χρηματί||ζοντι· ἐχόντω δὲ | καὶ παρ' αὐτοῖς ἐν λευ|κώματι κατὰ γράμμα | ἀναγεγραμμένος |ἐξὰν ἀπὸ τοῦ ἄλφα || καὶ παραδιδόντω | τοῖς μεθ' αὐτὸ[ς γ]ε[νο]|μένοις, καὶ τὸ[ς ἀπο¦|γραφομένος ἀεὶ π[οτα]|-

VII. ναγραφόντω· το[ὶ δὲ] ¦|| ἀρχεύοντες καὶ τοὶ ἐπι|μήνιοι διδόντω

τὰς με|ρίδας ἀντεφορῶντες | ἐκ τοῦ λευκώματος· | καὶ τοὶ ναποῖαι τὸς ἐπ[ι||β]αλλομένος ἐς τὰν [ἱε|ρ]ατείαν τὸν κλᾶρον ἐ|χόντω ἀντεφορῶντες | ἐκ τοῦ λευκώματος. | Ὅπως δὲ καὶ εὐσαμοτέ[ρ]|α ὑπάρχῃ ἁ ἀναγραφά, τοὶ | ναποῖαι ἀναγραψάντω | VIII. [πᾶ]ν τόδε τὸ ψάφισμα ἐ[ς | στ]άλαν καὶ τὸς [-- πο]||ταναγραφομένος καθότ[ι] | αὐτοῖς καὶ ἐς τὸ λεύκωμα [ἀ ν]α[γ]ρ[ά]φεν ἐπιτέτακται. | [Τὰν δὲ γ]ενομέναν δαπά|[ναν ἐς] τὰν ἀναγραφὰν τ[ε|ισάντω] τοὶ ναπο(ῖ)αι ἀπ[ὸ || τῶν ὑπα]ρχόντων τοῖς θε||[οῖς χρημ]άτων καὶ ἀπολογ|[ισάσθων] μετὰ τᾶς ἄλλας δ[α|πάνα]ς. Αἰ δέ κά τις τῶν ἀ[ρχ|ευόν]των ἀπειθῇ τοῦδε τοῦ || ψαφίσματος, πεντακατίας | δραχμὰς ἀποτεισάτω ἱε|[ρὰς τοῦ Ἀ]πόλλωνος.

1004. Cos. **Décret d'une association religieuse en l'honneur de ses magistrats.** (IIIe s. av. J.-C.)

Plaque de marbre blanc servant de marche-pied devant une chaire, dans l'église d'Antimachia (Cos). — Ross, *Inscr. Gr. Ined.*, 175. — Rayet, *Ann. de l'Ass. des Ét. gr.*, p. 282 s. — Cauer, 162. — Dubois, *De Co insula*, p. 39. — Paton-Hicks, 382. — Müllensiefen-Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 3718.

Ἐπὶ μ[ον]άρχου Νικόφρονος· μηνὸ[ς] Ἀρταμιτίου· Ἔδοξε τῶι κοινῶ[ι] | τῶν συμπορευομένων παρὰ Δ[ία | Ὑ]έτιον. Χάρμιππος Παρμενίσ[κου || κ]αὶ Φίλιστος Φιλίστου καὶ Λύκ[αι]|θος Παρμενίσκου εἶπαν· Ἐπε[ι]|δὴ Νικαγόρας Θευδώρου κα[ὶ] | Λύκαιθος Λευκίππου γενόμ[ε]|νοι ἐπιμήνιοι αὐτεπάγγελ||τοι, τά τε ἱερὰ ἐξέθυσαν τῶ[ι] | Διὶ καὶ ἀνενεώσαντο τὰν θυ|σίαν τοῦ Διὸς καὶ τὰν ὑποδοχὰ[ν | ἐ]ποήσαντο τῶν δαμοτᾶν καὶ | [τ]ῶν ἄλλων πάντων ἀξίως τῶ[ν || θ]εῶν, σπουδᾶς καὶ προθυμίας, | [ο]ὐθὲν ἐλλείποντες· ὅπως οὖν κα[ὶ το]|ὶ μετὰ ταῦθ' αἱρούμενοι ἐπιμήνιο[ι πολ]|ὺ προθυμοτέρος αὐτὸς παρέχ[ων|τ]αι εἰδότες τὰν τῶν δαμοτᾶν [εὔν]|οιαν· — δεδόχθαι· Νικαγόραν μ|ὲν | κ]αὶ Λύκαιθον ἐπαινέσαι ἐπί τ[ε] | τᾶι αἱρέσει καὶ εὐσεβείαι ἂν [ἔ]|χοντι ποτὶ τὸς θεὸς καὶ τ[ὸς | δ]αμότας καὶ στεφανῶσαι [αὐ]|τὸς ἀπὸ χρυσῶν δέκα· το[ὶ δὲ] | ταμίαι ἀνγραψάντων τόδε [τὸ ψά]|φισμα ἐς στάλαν λιθίναν [καὶ] | ἀναθέντων παρ τὸν βωμὸν | τοῦ Διός· τὸ δὲ ἀνάλωμα [τὸ γε]||νόμενον ἐς τὰν στάλαν τε[ι]|σάντων τοὶ ταμίαι.

1005. Cnide. **Souscription en faveur d'un thiase.** (IIe s. av. J.-C.)

Stèle de marbre bleuâtre brisée en bas. Trouvée à Cnide, actuellement au British Museum. — Foucart, *Associations religieuses*, n° 57 (cf. p. 8 s. [trad.]). — Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 3510. — Hirschfeld, *Greek Inscr. in the*

Br. Mus., 795. — Cf. Wilhelm, *Arch.-epigr. Mitth. aus Œ.-U.*, XVII (1894), p. 46. — La liste est disposée en deux colonnes.

Οἵ]δε συν[αύ]ξειν προαιρούμενοι | [τὸ]ν θίασον ἐπαγγείλαντο κα[θὼς] ἔδω|[κα]ν· — |

I. Νέαρχος Ἡρακλείτου || ὑπὲρ Νεάρχου τοῦ | Ἀναξικλεῦς Ͱτ' | Σωτήριχος Λίβυς Ͱτ' | Δαμοκλῆς Ἀράδιος Ͱτ' | Δάμων Σολεύς Ͱτ' || Πάτροκλος Μύν|διος — Ͱν' | . . ιοκλῆς Φρὺξ καὶ ὑ|[πὲρ τ]ῶν παιδίων Ͱκ' | - - Σελγεύς Ͱι' || - - εγγένης Καύ|[νιος - - - -]

II. Θόας Μύνδιος καὶ | ὑπὲρ τῶν υἱῶν Ͱλ' | Φιλέταιρος | Θρᾶιξ — Ͱε' || Εὐήμερος καὶ ὑ|πὲρ τᾶς γυναικός Ͱι' | Βοηθὸς | Σελευκεύς Ͱι' | Ἀνδροσθένης || Σάμιος Ͱι' - -.

Nous transcrivons par Ͱ un signe un peu différent qui désigne les drachmes.

1006-7. Téos. Décrets d'une symmorie en l'honneur de ses prostates. (IIe s. av. J.-C.)

1006. Trouvé près de Sevri-hissar (Lydie). — C.I.G., 3065 (d'après Sherard et Chishull). — Cf. Scheffler, *De rebus Teiorum*, p. 40 s.

Ἐπὶ πρυτάνεως Σμείνωνος· | τὸ κοινὸν τῆς Ἐχίνου συμμορίας | ἐτί[μ]ησεν | Δημή||τριον Καλ|λιστράτου, | Προκλεί||δην Προκλ|είδου τὸν | νεώτερον, | Νικίαν | Φίλωνος, | Ἑστιαῖον Σιμαλίω||νος.

Ἔδοξεν τῆι Ἐχίνου συμμορίαι· Ἐπειδὴ Δημήτρι|ος Καλλιστράτου, Προκλείδης Προκλείδου ὁ νε|ώτερος, Νικίας Φίλωνος, Ἑστιαῖος Σιμαλίωνος, πρό|τερόν τε τὴν αὑτῶν σπουδὴν ἐνδεικνύμενοι εἰς τὴν || συμμορίαν διετέλουν, ἀποδεικνύντες τε προσ|τάται καὶ βουλόμενοι κατακολουθεῖν τῆι ἑαυτ|ῶν προθέσει τάς τε νομιζ[ο]μένας | πατρίους θυσίας συνετέλεσαν τοῖς θεοῖς καὶ τοῖς εὐεργέταις | καλῶς καὶ ἐπιφανῶς, <ε> ὑπε<ι>δέξαντό τε καὶ τὴν συμμορίαν φιλο|τίμως καὶ ἐκτενῶς, εἰσενεγκάμενοι τὴν εἰς ταῦτα δαπάνην | πᾶσαν ἐκ τοῦ ἰδίου, βουλόμενοι ἐν ἅπασι τούτοις ἀδάπανον τὴν | συμμορίαν καθιστάνειν· ὅπως οὖν καὶ τὸ κοινὸν τῆς συμμορίας | εὐχαρίστως προσφερόμενον φαίνηται τοῖς καλοῖς καὶ ἀγαθοῖς | τῶν ἀνδρῶν· δεδόχθαι τῆι Ἐχίνου συμμορίαι· ἐπαινέσαι Δημή|τριον Καλλιστράτου, Προκλείδην Προκλείδου τὸν νεώτερον, | Νικίαν Φίλωνος, Ἑστιαῖον Σιμαλίωνος καὶ στεφανῶσαι ἕκασ|τον αὐτῶν στεφανῶι θαλλοῦ ἀρετῆς ἕνεκεν καὶ φιλοδοξίας τῆς εἰς | τὴν συμμορίαν· ἀναγγέλλεσθαι δὲ τὸν στέφανον καθ' ἕκαστον | ἔτος μετὰ τὰς σπονδάς, ὅταν ἡ [ὑπο]δοχὴ γίνηται· τῆς δὲ ἀναγ|γελίας ἐπιμελεῖσθαι τοὺς καθ' ἕκαστον ἔτος γενομένους | προστάτας. Ἀναγράψαι δὲ τὸ ψήφισμα

τόδε καὶ τοὺς στε|φάνους εἰς στήλην λιθίνην καὶ στῆσαι παρὰ τὸν βωμὸν τῆς συμ|μορίας. Ὅπως δὲ συντελεσθῇ τὰ ἐψηφισμένα, ἀποδεῖξαι ἄν|δρας οἵτινες τὴν ἐπιμέλειαν αὐτῶν ποιήσονται. Ἀπεδε[ί χθησαν] Προκλείδης Προκλείδου ὁ νεώτερος, Δημήτριος Καλλιστράτου.

Le texte épigraphique porte, ligne 3, ΕΤΙΘΗΣΕΝ; ligne 17, ΝΟΜΙΖΑΜΕΝΑΣ; ligne 29, ΩΔΟΧΗ.

1007. Stèle trouvée près de Sevri-hissar. — C.I.G., 3066 (d'après Chandler). — Cf. Scheffler, *De rebus Teiorum*, p. 40 s.

Ἔδοξεν τῶι κοινῶι τῆς Ἐχίνου συμμορίας· | Ἐπειδὴ Ἑλλάνικος Ζωΐλου, Σάτυρος Ἀρτεμιδώ ρου, Ἀγέλιππος Εὐφράνορος, Ἀθηνόδωρος | Δημητρίου, ἄνδρες ἀγαθοὶ καὶ [πρόθυ|μοί εἰ]σιν εἰς τὰ συμφέροντα τῆι συμμορίαι, προσ|τάται τε γενόμενοι τῆς Ἐχίνου συ[μμο]|ρίας, τάς τε θυσίας πάσας συνετέλ[ε]|σαν πρεπόντως καὶ κατὰ τὸν νόμον | καὶ ἐν τοῖς ἄλλοις προέστησαν ἀξίως [τῆς] συμ|μορίας, οὐδεμίαν ἀνενέγκαντες τῶι κοινῶι δα|πάνην, ἀλλ' ἐκ τῶν ἰδίων πάντα χορηγήσαντες ἀ|φειδῶς ἐς τὰς θυσίας πάσας τὰς συντελουμένας | ὑπὸ τῆς Ἐχίνου συμμορίας, τοῖς τε θεοῖς καὶ τοῖς εὐερ|γέταις καὶ τὴν ἄλλην δαψίλειαν ἐποιήσαντο τῶν || εἰς τὴν ὑποδοχὴν ἀναλισκομένων ἀξίως τῆς τε | συμμορίας καὶ ἑαυτῶν· — ἵνα οὖν καὶ ἡ Ἐχίνου συμμο|ρία φαίνηται τοῖς καλοῖς καὶ ἀγαθοῖς τῶν ἀνδρῶν | ἀπονέμουσα τὰς κα[τ]αξίας χάριτας· δεδόχθαι | τῆι Ἐχίνου συμμορίαι· ἐπαινέσαι Ἑλλάνικον Ζωΐλου, Σάτυρον Ἀρτεμιδώρου, Ἀγέλιππον Εὐφράνορος, | Ἀθηνόδωρον Δημητρίου καὶ στεφανῶσαι ἕκαστον | αὐτῶν στεφάνωι θαλλοῦ ἀρετῆς ἕνεκεν καὶ φιλοδο|ξίας ἧς ἔχοντες διατελοῦσιν εἰς τὸ κοινὸν τῆς συμ|μορίας, καὶ ἀναγγεῖλαι αὐτὸν τὸν στέφανον τοῖς Λευκαθέοις μετὰ τὰς σπονδὰς ἐν ἧι ἂγ γίνηται ἡμέ|ραι ἡ συμμορία· τῆς δὲ ἀναγγελίας ἐπιμελεῖσθαι τοὺς | καθ' ἕκαστον ἔτος τιμωμένους προστάτας. Ἵνα δὲ καὶ | μνημονεύηται αὐτῶν εἰς ἅπαντα τὸν χρόνον ἡ φ[ιλ]ο|τιμία, καὶ ζηλῶσιν αὐτοὺς οἱ ἐπιγινόμενοι Ἐχιναδῶν, ἀναγράψαι τοὺς ἀποδειχθησομένους ἄνδρας τοῦ[το] | τὸ ψήφισμα εἰς στήλην λιθίνην καὶ τοὺς στεφάνους, | καὶ στῆσαι παρὰ τὸμ βωμὸν τῆς συμμορίας. Βουλ[ό]μενοι δὲ καὶ ἐν τούτοις ἀκόλουθοι φαίνεσθαι καὶ ἀ[δ]ά|πανον καταστῆσαι τὸ κοινόν, τὴν εἰς ταῦτα δα[πάνην] | ἐσομένην ἐκ τῶν ἰδίων ἀνεδέξαντο ποιήσειν. | Ἀπεδείχθησαν Ἑλλάνικος Ζωΐλου, Σά[τυρος] | Ἀρτεμιδώρου. —

Le texte épigraphique porte, ligne 28, à la fin, ΦΡΑΟ.

1008. Chalcédoine. **Fragment d'un règlement de thiase.** (IIIe s. av. J.-C.)

Plaque de marbre surmontée d'un fronton. Trouvée près de Chalcédoine, actuellement dans la collection du Dr Mordtmann, à Constantinople. — Curtius, *Monatsber. der Berlin. Akad.*, 1877, p. 475. — Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 3051. — Cf. Dittenberger, *Hermes*, XVI (1881), p. 167. — Lehmann, *Quaestiones sacerdotales*, I, p. 18 s. — Bischoff, *Rhein. Mus.*, XLV (1899), p. 10 s.

Νικομάχου τοῦ [- - - | Τύχαι ἀγ]αθᾶι. Ὁ πριάμενος τὰν ἱερωτε[ίαν | τῶν θεῶ]ν τῶν δυώδεκα ἱερωτεύσει ἐ[πὶ | ζωᾶς λ]αζόμενος τῶν θυομένων πάν[τα || τὰ] δέρματα καὶ τὰς κωλέας ὅσα κα τ[οὶ | θι]ασῶται θύωντι τοῖς δυώδεκα θεοῖς ἐν τ[ῶι | κοι]νῶι τῶι Νικομαχείωι. Ποταγόντω δὲ το[ὶ ἱε|ρῆς το]ὶ ἑκαστάκι γινόμενοι τὰ ἱερεῖα ἅ κα [δέηι | θυσιάζει]ν ποτὶ τὸν βωμὸν τὸν τῶν θε[ῶν || τῶν] δυώδεκα καὶ ποιούντων τὰν θυσίαν | - - - - - -· αἰ δέ κα [μ]ὴ ποτάγ[ωντι - - - -

1009-1018. Corporations d'artistes Dionysiaques.

1009. Athènes. (*A* : vers 275 av. J.-C. — *B* : vers 129 av. J.-C.) — Plaque de marbre brisée en plusieurs morceaux, incomplète à droite. Trouvée dans le théâtre de Dionysos, à Athènes. — Wescher, *Étude sur le monum. bilingue de Delphes*, 1868, p. 199 s. — C.I.A., II, 551. — Cf. Egger, *Traités publics*, p. 287 s. (trad.) — Foucart, *De collegiis scenicorum artificum*, p. 37 s. (trad.) — Lüders, *Dionys. Künstler*, p. 171 s. — Pomtow, *Jahrb. f. Philol.*, 1894, p. 500 s. — Poland, *De collegiis artificum Dionysiacorum*, Dresde, 1895, p. 3 s. — Ziebarth, *Griech. Vereinswesen*, p. 86.

A. Θ[ε]οί. | Ἐκ τοῦ Μητρώιου. Ἐπὶ Ἱέρ[ω]νος ἄρχον|τος ἐν Δελφοῖς· πυλαίας ἐ[α]ρινᾶς· ἱερομνα|μονούντων Θεσσαλῶν Ἱ[ππ]οδά[μα], Λέοντος· Α[ἰ]||τωλῶν Λυκέα, Δωριμάχου· [Β]οιωτ[ῶν Ἀ]σώπωνο[ς], | Διονυσίδου· [Φω]κέω[ν Χαι]ρέα, Χ- -. Ἔδοξ[ε] τοῖς Ἀμφικτ[ίοσιν καὶ τοῖ[ς ἱερομν[άμοσι]ν κα[ὶ] | τοῖς ἀγορα[τροῖς - - -]ς παν[τ- - - ἀσυ]|λία καὶ ἀτέ[λεια τοῖς τεχνίτα]ις τ[οῖς ἐν Ἀθήναις ἦι] || καὶ μὴ ἦι ἀ[γ]ώγι[μος ὁ τεχνίτας μηδενὶ μήτε πολέ]|μου μήτε εἰρήνης μήτε [ἐν γᾶι μήτ' ἐν θαλάσσαι, ἀλλ' ἦι] | αὐτοῖς ἀτέλεια καὶ ἀσφάλε[ια ἡ καὶ πρότερον συν]|κεχωρημένη ὑπὸ πάντων τῶν Ἑλλ[ήνων κυρία, εἶμεν] | δὲ τοὺς τεχνίτας ἀτελεῖς στρατε[ίας καὶ πεζᾶς] | καὶ ναυτικᾶς, ὅπως τοῖς θεοῖς αἱ τιμ[αὶ ἅπασαι ἐ]|φ' ἅς εἰσι τεταγμένοι οἱ τεχνῖται συντ[ελῶνται ἐν] | τοῖς καθήκουσιν χρόνοις ὄντων αὐτῶ[ν ἀπολυπρα|γ]μονήτων καὶ ἱερῶν πρὸς ταῖς τῶν θεῶν [λειτουργί]|αις· μὴ ἐξέστω δὲ μηδενὶ ἄγειν τὸν τ[εχνίταν μήτε] || πολέμου μήτε εἰρήνας μηδὲ συλᾶν [πλὴν ἐὰν χρέ]ος ἔχων πόλει ἦι ὑπόχρεως καὶ ἐὰν ἰδ[ίαι

ἦι ἰδιώτ]|ου ὑπόχρεος ὁ τεχνίτας· ἐὰν δέ τι[ς παρὰ ταῦτα ἄγ]||ηι, ὑπόδικος ἔστω ἐν Ἀμφικτίοσιν [καὶ αὐτὸς καὶ ἁ πό]|λις ἐν ἇι ἂν τὸ ἀδίκημα κατὰ τοῦ τ[εχνίτου συντελεσ]|θῆι· εἶμεν δὲ τὰν ἀτέλειαν καὶ τὰ[ν ἀσφάλειαν τὰν] | δεδομέναν ὑπὸ Ἀμφικτιόνων τ[οῖς ἐν Ἀθήναις τε]|χνίταις εἰς τὸν ἀεὶ χρόνον οὖσι[ν ἀπολυπραγμονή]|τοις· τοὺς δὲ γραμματεῖς ἀνα[γράψαι τὸ δόγμα] | εἰστήλαν λιθίναν καὶ στῆσαι ἐν [τῶι ἱερῶι· πέμψαι || δ]ὲ καὶ ποτὶ Ἀθηναίους τοῦ δόγμα|τος τοῦδε ἀντίγρα| φον ἐσφραγισμένον, ἵνα εἰδῶντι ο[ἱ Ἀθηναῖοι ὅτι οἱ] | Ἀμφικτίονες πλείσταν ἔχοντι πρόν[οιαν τῆς αὐτῶν] | πρὸς τοὺς θεοὺς εὐσεβείας καὶ κατα[κολουθοῦσιν] | τοῖς παρακαλουμένοις ὑπὸ τῶν τεχν[ιτῶν, προαιροῦν]||ται δὲ καὶ εἰς τὸ λοιπὸν ταῦτά τε φυλάσ[σειν εἰς τὸν ἅ]|παντα χρόνον καὶ ἄλλο ὅ τι ἂν ἔχωντι [ἀγαθὸν πράσ|σ]ειν ὑπὲρ τῶν περὶ τὸν Διόνυσον τ[εχνιτῶν. Πρέσ]|βεις· Ἀστυδάμας ποιητὴς τραγωι|δίας, ---]|μος τραγωιδός. — |

B. Ἐκ τοῦ Μητρώιου. Ἐπὶ Δημοστράτου |ἄρχοντος, μηνὸς Βοη]|δρομιῶνος. Τὸ κοινὸν τῶν Ἀμφικτιό[νων Ἀθηναίων τεῖ] | βουλεῖ καὶ τῶι δήμωι χαίρειν. Πρεσβευ[σάντων πρὸς ἡ]|μᾶς παρὰ τῶν τεχνιτῶν τῶν μετεχ[όντων τῆς παρ᾽ ὑ]|μῖν συ<ο>νόδου Διονυσίου τοῦ Νυμφι[-- τραγικοῦ ὑ]||ποδιδασκάλου, Θυμοτέλου τοῦ Φιλο[κλέους τραγικοῦ] | ποιητοῦ, Ἐλπινίκου τοῦ Ἐπικράτου τραγ[ικοῦ ὑποδιδασ]|κάλου, Φιλίωνος τοῦ Φιλομήλου τραγικοῦ [ὑποδιδασκάλου], | Ἀρίστωνος τοῦ Ζήνωνος τραγικοῦ ὑποδι[δασκάλου καὶ] | ἣν ἔλαβον ἀπόκρισιν παρ᾽ ἡμῶν οἰηθέντω[ν δεῖν πέμπειν] || καὶ πρὸς ὑμᾶς, ὑπογεγράφαμεν ὑμῖν τοῦ γ[εγενημένου] | ὑφ᾽ ἡμῶν δόγματος τὸ ἀντίγραφον. — |

Ἄρχοντος ἐν Δελφοῖς Ἀριστίωνος τοῦ Ἀνα[ξανδρίδα, μη]|νὸς Βουκατίου, Πυθίοις. Ἔδοξεν τοῖς Ἀμφικτ[ίοσιν συνελ]|θοῦσιν, ἱερομνημονοῦντων παρὰ μὲν Θεσσ[αλῶν --- τοῦ] || Κλεΐππου Ἀτραγίου, Πολλίχου τοῦ Φρύνου Γ[---, παρὰ δὲ Ἀ]|χαιῶν Φθιωτῶν Μνασάρχου τοῦ Λέοντ[ος Λ]α-- --|μάχου τοῦ Πολίτου Μελιταιέως, παρ[ὰ δὲ Μαλιέων --] | τοῦ Ξενολάου Ἐχιναίου, παρὰ δὲ Δολό[πων --- τοῦ] | Κλεωνύμου Ἀγγειάτου, παρὰ δὲ Δελφῶ[ν --ʟ---]||ωνος, Ἁβρομάχου τοῦ Μαντίου, παρὰ δὲ Φ[ωκέων ---] | καὶ Φαΰλλου τῶν Ἐπινίκου Λιλαιέων, παρ[ὰ δὲ Βοιωτῶν --]|νίου τοῦ Ὀφέλτου Θηβαί[ου], Δημοκρίτου το[ῦ ------], | παρὰ δὲ Μαγνήτων Θεοδότου τοῦ Διογένο[υς καὶ -----]|αίου Δημητριέων, παρὰ δ[ὲ] Αἰνιάνων Μοσ[χ------] | — (παρὰ δὲ Δωριέ)||ων τῶν ἐγ Μητροπόλεως Τεισέου τοῦ Ἀλεξάνδρο[υ ----], | παρὰ δὲ Περραιβῶν Χαριδήμου τοῦ Φιλο-

κράτου Γον[νίου, παρὰ] | δὲ Δωριέων τῶν ἐκ Πελοποννήσου Διοίτα τοῦ Νικο[- - Σι]|κυωνίου, [π]αρὰ δὲ Εὐβοέων Ἀντ[ιλ]έοντος τοῦ Πολια[- - Χαλκι]|δέως· Ἐπειδὴ οἱ περὶ τὸν Διόνυ[σ]ον τεχνῖται οἱ ἐν [Ἀθήναις ψή]||φισμα καὶ πρεσβευτὰς ἀποσ[τείλ]αντες Διονύσ[ιον Νυμφι- -] | τραγικὸν ὑποδιδάσκαλον, Θυ[μοτέ]λην Φιλοκλέου[ς τραγικὸν ποι]ητήν, Ἐλπίνικον Ἐπικράτου τρα[γικ]ὸν ὑποδιδάσκ[αλον, Φιλίωνα] | Φιλομήλου τραγικὸν ὑποδιδάσκα[λ]ον, Ἀρίστωνα Ζ[ήνωνος τραγι]|κὸν ὑποδιδάσκαλον ἀνανενέων[ται] τὴν δεδομέν[ην τοῖς τεχνί]|ταις τοῖς ἐν Ἀθήναις πρότερον ὑπὸ [τῶν Ἀ]μφικτιόνω[ν ἀσυλίαν καὶ ἀσ]|φάλειαν κατὰ τὸ δόγμα καὶ παρακ[αλοῦ]σιν τοὺς Ἀμφ[ικτίονας ἀκόλου]|θα πράττοντας τῆ[ι τ]ῶν προγόνων αἱρέσει συντηρῆσα[ι τὰ ψηφισθέν]|τα ἑαυτοῖς φιλάνθρωπα· ὅπως οὖν καὶ οἱ Ἀμφι[κ]τίονες [φαίνωνται τὰ] | πρότερον δεδογμένα βεβαιοῦντες· δεδόχθαι τοῖς [Ἀμφικτίοσιν· εἶ]||ναι τοῖς ἐν Ἀθήναις τεχνίταις τήν τε ἀσυλίαν [κα]ὶ τὴ[ν ἀσφάλειαν εἰς] | τὸν ἀεὶ χρόνον καθὰ καὶ ἐξ ἀρχῆς ὑπῆρχεν, καὶ ε[ἶνα]ι αὐ[τοὺς στρατείας | ἀ]τελεῖς καὶ μὴ ἐξεῖναι μηθενὶ ἄγειν τὸν τεχ[νί]τη[ν τὸν μετέχον]|τα τῆς ἐν Ἀθήναις συνόδου μήτε πολέμου μήτ[ε] ε[ἰρήνης μηδὲ συ]|λᾶν μηδὲ ῥυσιάζειν, ἀλλ' εἶναι αὐτοὺς ἱεροὺς καὶ [ἀπολυπραγμο]||νήτους, ἐὰν μή τις ἄγηι τινὰ τούτων πρὸ[ς] ἴδιον χρέ[ος· ἐὰν δέ τις πα]|ρὰ ταῦτα ποιῆι, ὑπόδικος ἔστω ἐν Ἀμφικ[τί]οσιν καὶ [αὐτὸς καὶ ἡ πό]|λις ἐν ἧι ἂν τὸ ἀδίκημα κατὰ τοῦ τεχνί[του] συν[τε]λε[σθῆι, ἵνα τού]|των γινομένων ὑπάρχηι ἥ τε ἀσυλία καὶ ἡ ἀ[σ]φάλεια τ[οῖς τεχνίταις] | τοῖς ἐν Ἀθήναις καὶ οἱ Ἀμφικτίονες φαίνωνται ἀκόλο[υθα] πρ[άττον]||τες τῆι τῶν προγόνων αἱρέσει. Ἀναγράψαι δὲ τὸ δόγμα ἐ[ν Δ]ελφοῖς, ὁ[μ]οίως δὲ καὶ διαποστείλασθαι τοῦ δόγματος τοῦδε ἀντί[γ]ραφον πρὸς | τὸν δῆμον τὸν Ἀθηναίων, ὅπως παρακολουθῆι τὰ δεδογμέ[ν]α φιλάν|θρωπα παρὰ τῶν Ἀμφικτιόνων τοῖς ἐν Ἀθήναις τεχνίτα[ις. Ε]ἶναι δὲ | ταῦτα τοῖς ἐν Ἀθήναις τεχνίταις, ἐὰν μή τι Ῥωμαίοις ὑπ[εν]αντίον ἦ[ι]. | —

1010. Athènes. (Comm. du I^er^ s. av. J.-C.) — Plaque de marbre pentélique brisée en haut et en bas. Trouvée à Éleusis. — Rangabé, *Ant. Hell.*, 813. — Lenormant, *Recherches archéol. à Éleusis*, n^os^ 26, p. 90. — C.I.A., II, 628. — Cf. Sauppe, *Ausgew. Schriften*, p. 715 s. — Lüders, *op. cit.*, p. 173 s. — Foucart, *op. cit.*, p. 22. — Poland, *op. cit.*, p. 10.

- - - - τῆι Ἀθηναίων περι[- - - - - - - - - - - -|- - - - - - - τῶ]ν ἰδίων ἀπαλλαγέντες [- - - - - - - - - - - - -|- - - - - - - - ἄν]θρωποι διεξαγωγὴν τῶν - - - - - - - - - - - -|- - - - - - - σιν ἐποιήσατο, θυσίας δὲ καὶ μυστή[ρια καὶ ἀγῶνας γυμνι||κοὺς καὶ μουσι]κούς τε καὶ σκηνι-

κοὺς αὐτὸς ἐπιτελεῖν ἐψ[ηφίσατο ----|-- καὶ ἡ σύν|οδος τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν διὰ παντὸ[ς ---|---] συναύξουσα καθ᾽ ὅσον ἐστὶ δυνατὴ τάς τε θυσίας καὶ τἆλλα πάντα τ[ὰ ἐψη|φισμένα ὑ]π᾽ αὐτ[οῦ] τοῖς τε θεοῖς καὶ τοῖς εὐεργέταις τίμια ἐψηφίσατο καὶ αὐτὴ θύε[ιν | καὶ σπένδ]ειν τῆι Δήμητρι καὶ τῆι Κόρηι ταῖς μυστηριώτισιν ἡμέραις καὶ βωμὸν ἱδρυσ[α||μένη καὶ] τέμενος κατασκευάσασα ἐν Ἐλευσῖνι σπονδὰς καὶ παιᾶνας ἐπιτελεῖ· ὧν ἐπισχ[ε|θέντω]ν ἐπὶ ἔτη καὶ πλείονα καὶ τοῦ τε βωμοῦ καὶ τοῦ τεμένους ἀναιρε[θέντ]ος διὰ τὴν κοινὴν περίστασιν Φιλήμων ἐπιμελητὴς τὸ [τρ]ί[τον | γενόμ]ενος ἐν τῶι ἐπὶ Αἰσχραίου ἄρχοντος ἐνιαυτῶι ἀνεκτ[ή]σα|[το τὰς] πατρίους ταῖς θεαῖς θυσίας καὶ πρῶτος αὐτὸς θύσας [ἐ]ν Ἐ||[λευσῖ]νι τῆι Δήμητρι καὶ τῆι Κόρηι καὶ τὴν λοιπὴν δαπάνην καὶ χορη|[γίαν] ἐπιδεξάμενος ὑπεδέξατο τὴν σύνοδον ἐκ τῶν ἰδίων, | [προσ]εμέρισεν δὲ καὶ ἐκ τῶν κοινῶν εἰς ἄλλας ἡμέρας δύο καὶ ἐμ | [πάσα]ις καλλιερήσας ταῖς ἡμέραις τὰς ἐψηφισμένας ὑπὸ τῶν πατέ|[ρων] σπονδὰς καὶ ἐπιχύσεις καὶ παιᾶνας ταῖς θεαῖς ἐπετέλεσεν, || [ὧ]ν ἀσμένως οἱ τεχνῖται λαβόντες ἀνάμνησιν παρεκάλεσαν | [α]ὐτὸν καὶ προετρέψαντο μετὰ πάσης προθυμίας προνοηθῆναι καὶ | τῆς τοῦ τεμένους κατασκευῆς ὅπως ἐπὶ τῆς πατρώιας ἑστίας ἀν[εμ]|ποδίστως κατ᾽ ἐνιαυτὸν ἐπιτελῶσιν τὰς θυσίας, ὁ δὲ καὶ διὰ τὴ[ν] | πρὸς τὰς θεὰς εὐσέβειαν καὶ διὰ τὴν πρὸς τοὺς τεχνίτας ἀνυπέρθε||τον εὔνοιαν διὰ τῆς ἰδίας ἐπιμελείας ἐξ ὧν ἀνεῦρεν αὐτὸς τῆι | συνόδωι προσόδων τὴν κατασκευὴν τοῦ τεμένους ἐποιήσατο | καὶ τὸν ἀνειρημένον ὑπὸ τῆς περιστάσεως βωμὸν αὐτὸς πάλιν κα|θιδρύσατο, προενοήθη δὲ ἐκτενῶς καὶ τῆς τῶν κοινῶν ἐμ πᾶσιν ἐπα|νορθώσεως καὶ τὸν κύκλον τῶν δανείων μεταπαρέδωκεν ἐκβαί||νων ἐκ τῶν ἐπιμελειτειῶν πολλοῖς ἐπευξημένον χρήμασιν, ὥστε | μὴ μόνον εἰς [ἃ]ς ἀνενεώσατο τῆι Δήμητρι καὶ τῆι Κόρηι θυσίας, ἀλλὰ καὶ | εἰς ἑτέρας πλειόνας διὰ τὴν τούτου σπουδὴν γεγονέναι τῆι συνόδωι | προσόδους· βιασαμένων δὲ αὐτὸν τῶν τεχνιτῶν πάλιν τὸ τέταρτον | ὑπομεῖναι ἐπιμελητὴν εἰς τὸν ἐπὶ Σελεύκου ἄρχοντος ἐνιαυ||τὸν πρὸς ταῖς λοιπαῖς εἰσφοραῖς καὶ χορηγίαις καὶ ἐν Ἐλευσῖνι θύσας | ἔν τε τῶι ἱερῶι καὶ ἐν ὧι πρῶτος αὐτὸς κατεσκευάσατο τεμένει ἐφ᾽ οὗ | ἱδρύσατο βωμοῦ τά τε θύματα καὶ τὴν λοιπὴν χορηγίαν πᾶσαν ἐπιδεξά|μενος ὑπεδέξατο τὴν σύνοδον ἐκ τῶν ἰδίων μεγαλομερῶς, προσε|μέρισε δὲ καὶ τὰς διατεταγμένας ἐκ τῶν κοινῶν ἡμέρας δύο καὶ ἐμ πά||σαις ἐκαλλιέρησε ταῖς θεαῖς καὶ τὰς πατρίους σπονδὰς ἐπετέλεσεν· | [πόλλα τε κα]ὶ ἄλλα ἐπολιτεύ-

σατο καλὰ καὶ συμφέροντα τῆι συνόδωι καὶ | [προσεδαπάνησεν ἐκ τ]ῶν ἰδίων ἔν τε ταῖς ἐπιμελητείαις καὶ ἱερωσύναις | - - - - - - - ν τὴν τῶν τεχνιτῶν εὔνοιαν πάντος χρήμα|[τος - - - - - - - - - - - -]· οὐ μόνον δὲ πρὸς τὴν σύνοδον || - - - - - - - - - - - - - - - διακείμενος ἀποδο|[χῆς - - - - - - - - -

1011. Argos. (113 av. J.-C.) — Marbre brisé à droite. Trouvé à Argos. — Foucart, *Rev. Archéol.*, 1870, II, p. 107 s. — Lebas-Foucart, 116ª. — Cf. Foucart, *De collegiis scenicorum artificum*, p. 23 s. — Nous suivons les restitutions de M. Foucart.

Ἐπειδὴ Ζήνων Ἑκατοδώρο|υ Ἀργεῖος ἐν παντὶ καιρῶι διατελεῖ εὐσεβῶς μὲν δια||κείμενος τὰ πρὸς τοὺς θεούς, εὐνο[ϊκῶς δὲ τὰ πρὸς τὸ κοινὸν τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν] | τῶν ἐξ Ἰσθμοῦ καὶ Νεμέας τῆς ἐν Ἄργ[ει συνόδου, καὶ ἐν πᾶσι πολλάς τε καὶ μεγάλας ἀποδεί]|ξεις πεποιημένος τῆς ἑαυτοῦ καλοκάγαθίας, τὰς [δὲ λειτουργίας ἐπιτελέσας καὶ τὰς τῆς] || συνόδου ἀρχὰς πάσας πεποίηται καλῶς καὶ συνφερόντω[ς τοῖς κοινοῖς τῆς συνόδου πρά]|γμασιν, ἐν πᾶσιν ἀναστρεφόμενος ἀξίως τῆς ἐκ παιδὸς αὐτῶι [ὑπαρχούσης εὐνοίας, κατα]|σταθεὶς δὲ καὶ ταμίας ὑπὸ τῆς συνόδου εἰς τὸ δεύτερον καὶ τρια[κοστὸν ἔτος, ἀνεκομίσατο] | πολλὰ τῶν τῆς συνόδου διαφόρων ἀποστατοῦντα τῶν κεφαλαίων, [πολλοὺς δὲ ὀφείλοντας] | ἐφ[ε]λκομένους ἐξ ἐτῶν καὶ πλειόνων ἐνεφάνισέν τε τῶι πλή[θει τῶν τεχνιτῶν, καὶ πα]||ρακληθεὶς ὑπὸ τῶν τεχνιτῶν ἐποιήσατο τὴν ἐπιμέλειαν τῆς ἀν[απράξεως, ἐν ἅπασιν ἀνα]|στρεφόμενος καλῶς καὶ συνφερόντως τοῖς κοινοῖς τῆς συνόδου [πράγμασι, καὶ ἐκ τῶν ἀνα]|πραχθέντων ὑπ᾿ αὐτοῦ διαφόρων ἐπετέλεσεν κατὰ μῆνα τοῖς τε[χνίταις ἐν ταῖς ἡμέραις] | τῆς συνόδου τὰς κατὰ τοὺς νόμους θυσίας, διελέγη δὲ μετὰ προ|θυμίας ὅπως κατασκευ|ωθῆι, ἄγαλμα Διονύσου τῆι συνόδ[ω]ι ἀκρ[ό]λιθον, χρυσόειμον, ἐξανε- - - - - - - || τῆς συνόδου ἔδωκεν τὰ διάφορα ἐκ τῶν ἀναπ[ραχθέν]των ὑπ᾿ αὐτοῦ δ[ιαφόρων, διελέγη δὲ] | καὶ ὑπὲρ τοῦ κατασκευωθῆναι π[ρὸ]ς [εὐσχήμο]σ[ι]ν ἐν τῶι τεμένε[ι χρηστήρια ἱκανὰ] | καὶ παρακληθεὶς ὑπὸ τῶν τεχνιτῶν π[οιήσασθαι] ἐπιμέλειαν τ[ούτων πάντων, ἐποι ή]σατο τὰς ἐγδόσεις τ[ῶν] ἔρ|γ|ων πάσας [τὰς εἰς τὰ ἱ]ερὰ μετὰ πάσης [σπουδῆς, αἴτιος πολλῶν | ἀγα]θῶν ἐπὶ τὴν σύν[οδον τῶν τεχνιτῶν γινόμενος - -]α- - ν, ἐπὶ [δὲ τούτοις διελέγη ὅπως || κατα]σκευωθῶσι τῆι συν[όδωι - - - - - - - - -] καὶ τρίπ[οδες] Βακ[χεῖοι - - - - | ἐγδό]σεις λυσιτελῶς, ἐν πᾶσι τούτοις ἀνα[στρεφόμε]νος ἀξί[ως τῆς] ἐν τ[ούτοις ἀποδεδει]γμένη]ς

αὐτοῦ καλοκἀγαθίας, ἀνέγ[κλητος ὢ]ν καὶ τῶν .εφ--ντ[---- | τῆς σ]υνόδου καὶ παρασεσιωπημ[έ]ν[α πολλὰ ἐπετέλε]σε [Ζήνων] ὑπὲ[ρ τῆς συνόδου, ἐποιήσατο | δὲ τ]ὴν ἐπιμέλειαν καὶ ὑπὲρ τοῦ κατασκευωθῆναι βάθρον [τῆι] εἰκόνι [τῆι τοῦ ἡμῶν εὐεργέτου] || βασιλέως Νικομήδους καὶ τῆς ἀναθέσεως τῆς εἰκόνος [τῆ]σδε κατ' [ἐπιφανέστατον τόπον τοῦ τεμέ]|νους, διελέγη δὲ καὶ ὑπὲρ τοῦ κατασκευωθῆναι τόπον τῶι θεῶι καὶ ὑπερθυρω[θῆναι τὴν εἴσοδον καὶ] | ὑπὲρ τοῦ ὀροφωθῆναι τὸν τόπον ἐν ὧι ἔσται θ[υσία τῶι θ]ε[ῶι] ἐ[κ τ[ῶ]ν ἀ]ναπ[ραχθέντων ὑπ' αὐτοῦ] διαφόρων· ὅπως οὖν καὶ οἱ τεχνῖται φαίνωνται [χάριτα]ς [διαν]έ[μο]ντ[ες] ἀξίας τ[ῶν αὐτοῦ εὐεργετημάτων] | καὶ τιμὰς καὶ πολλοὺς ἔχωσιν τῶν ὁμοίων ζηλωτάς· [τύχηι τ]ῆι ἀγαθῆι, δεδόχθαι τοῖς [περὶ τὸν Διόνυσον τε]||χνίταις τοῖς ἐξ Ἰσθμοῦ καὶ Νεμέας τῆς ἐν Ἄργει συν[όδου]· ἐπαι[νέ]σαι Ζήνωνα Ἑκα[τοδώρου Ἀργεῖον ἐπὶ τῆι] | εὐνοίαι τε καὶ φιλαγαθίαι περὶ τὰ κοινὰ τῆς συνόδου πράγματα καὶ [στεφα]νῶσαι αὐ[τὸν δάφνης στεφάνωι] | ὧι πάτριον ἡμῖν ἐστιν ἐν τῆι τοῦ θεοῦ ἡμέραι· στῆσαι δὲ αὐτοῦ καὶ [εἰκ]όνα χαλκῆ[ν ἔχουσαν τήνδε τὴν ἐπι]|γραφήν· Τὸ κοινὸν τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν τῶν ἐ[ξ] Ἰσθμοῦ καὶ Νεμέ[ας στεφανοῖ δάφνηι Ζήνωνα] | Ἑκατοδώρου Ἀργεῖον ἀρετῆς ἕνεκεν καὶ εὐεργεσίας εἰς [τὴν σύνο]δον. [Τὸ δὲ γενόμενον ἀνάλωμα εἰς τὴν εἰκό]||να [δ]ότω τῶι κατασταθέντι τῆς εἰκόνος ἐπιστάτηι Ξένων ὁ [ταμίας. Τὴν] δὲ [ἐπιμέλειαν τῆς ποιήσεως τοῦ στε]|φάνου ποιησάσθω ὁ γραμματεὺς Ἀριστοκλῆς καὶ οἱ ἄρχοντες [οἵ τε ἐνεστηκότες καὶ οἱ ἀεὶ αἱρούμενοι καὶ ὁ] | γραμματεὺς ποιείσθωσαν τὴν ἐπιμέλειαν ἐν τῇ τοῦ θεοῦ ἡ[μέραι ὅπως ἀναγορεύηται ὁ στέφανος· ποιείσθω] | δὲ τὴν ἐπιμέλειαν ὁ κατασταθεὶς γραμματεὺς ε[------------------ ὅπως ἐν τοῖς] | Νε[με]ίοις ἐν τῶι ἀγῶνι τῶι γυμνικῶι ἀνακηρυχθῇ τὸ κήρυγμ[α τόδε· Τὸ κοινὸν τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν] || τῶν ἐξ Ἰσθμοῦ καὶ Νεμέας τῆς ἐν Ἄργει συνόδου στε[φανοῖ δάφνης στεφάνωι Ζήνωνα Ἑκατοδώρου Ἀργεῖον ἀρε]|τῆς ἕνεκεν καὶ εὐεργεσίας ἧς ἔχων διατελεῖ ε[ἰς τὴν σύνοδον καὶ ἵστησιν αὐτοῦ εἰκόνα χαλκῆν ἐν τῶι τε]|μένει τύχῃ τῆι ἀγαθεῖ. Ἀναγραψάτω δὲ ὁ καταστ[αθεὶς τῆς εἰκόνος ἐπιστάτης τόδε τὸ ψήφισμα τῆς συνόδου] | εἰς τὸ βάθρον τῆς εἰκόνος. —

Le marbre porte, ligne 14, ΣΥΝΟΔΟΙ.

1012. Thespies. (Vers 250 av. J.-C.) — Grande stèle de pierre blanche trouvée à Haghios Georgios. — Jamot, *Bull. de Corr. Hell.*, XIX (1895), p. 314 s.

Ὁ θυμελικὸς ἀγὼν στεφανίτης πρῶτον ἐγένετο· |

I. Ἀγωνοθετοῦντος Ἱεροκλέους, ἱερέως δὲ | τῶν Μουσῶν Μνασίωνος, ἀπὸ δὲ | τῶν τεχνιτῶν Αἰσχύλου, καὶ δόγμα||τα περὶ τοῦ ἀγῶνος τῶν Μουσείων. | Τεχνιτῶν. Ἔδοξε τοῖς τεχνίταις | τοῖς ἐξ Ἰσθμοῦ καὶ Νεμέας· Ἐπειδὴ | παραγενόμενος πρεσβευτὴς | Ἱεροκλῆς παρὰ τῆς πόλεως Θεσ||πιέων καὶ τοῦ κοινοῦ τῶν Βοι|ωτῶν, ψηφίσματά τε ἀπέδω|κεν καὶ ἐπιστολὴν ἐν ἧι παρε|κάλει τοὺς τεχνίτας, τῆς | πόλεως τῶν Θεσπιέων προ||κεχειρισμένης τὸν ἀγῶνα | τὸν ἐν τῶι Ἑλικῶνι γινόμενον | ταῖς Μούσαις στεφανίτην εἶ|ναι τὸν θυμελικόν, τόν τε τῶν | αὐλητῶν καὶ αὐλωιδῶν καὶ || κιθαριστῶν καὶ κιθαρωιδῶν | καὶ ἐπῶν ποιητῆι, καὶ ὅπως | ἂν ὁ ἐνιαυτὸς μετατεθῆι ἐν | ὧι ὁ ἀγὼν γίνεται, καὶ συνπρεσ|βεύσωσιν περὶ τούτων οὗ ἂν || παρακαλῆι ἡ πόλις ἡ τῶν Θεσ|πιέων καθὼς καὶ ἐν τοῖς ἔμπροσ||θ]εν χρόνοις, πράττωσι δὲ οἱ τε||[χν]ῖται καὶ ἐὰν ἄλλο [τ]ι χρήσιμον | [ἢ ἔνδ]οξον [φαίνηται εἶ]ναι [- - | - - - -

II. - - - - - - Ἱεροκλῆς λόγους ἐποιήσατο ἀκολούθως] | τοῖς ἐν τοῖς ψηφίσμασι γεγραμ|μένοις, ἐπέδειξε δὲ καὶ τὰ | ἐξ ἀρχῆς προγεγονότα φιλάνθρω|πα τῆι πόλει τῶν Θεσπιέων πρὸς | τοὺς τεχνίτας καὶ τοῖς τεχνί|ταις πρὸς τὴν πόλιν τῶν Θεσ|πιέων· περὶ δὲ τούτων πάντων, | ἀγ[α]θῆ τύχηι, δεδόχθαι τοῖς || τεχνίταις· ἐπαινέσαι μὲν τὴν | πόλιν τῶν Θεσπιέων καὶ τὸ κοινὸν τῶν Βοιωτῶν περὶ τῆι φιλοτιμίαι | ἧι ἔχουσι εἴς τε τὸ ἱερὸν τῶν | Μουσῶν καὶ τὸ κοινὸν τῶν τε||χνιτῶν, ἀποκρίνασθαι δὲ αὐτοῖς | ὅτι καὶ πρότερον οἱ τεχνῖται, | κοινὸν ὑπολαμβάνοντες | εἶναι τὸν ἀγῶνα τῶν Μουσῶν | τῆι τε πόλει Θεσπιέων καὶ αὐ||τοῖς, τὴν πᾶσαν προθυμίαν | ἐνεδείξαντο, καὶ συνθύοντες, | καὶ ἱερέα ἐξ αὐτῶν αἱρούμενοι, | καὶ θεωροὺς ἀποστέλλοντες, | καὶ ψηφίσματα γράφοντες καὶ || συμπρεσβεύοντες περὶ τοῦ | ἀγῶνος καὶ πρὸς τοὺς λοιποὺς | Ἕλληνας, καθὼς ἂν ἡ πόλις παρ[α]|καλῆι τῶν Θεσπιέων, ἐμφανί|ζειν δὲ αὐτοῖς ὅτι καὶ νῦν πρῶτοι || τὸν ἀγῶνα ταῖς Μούσαις στεφα||[νί]την ἀποδέχοντ[αι - - - - - -

1013. Oponte. (IIe s. av. J.-C.) — Plaque de marbre blanc surmontée d'un fronton, encastrée dans le mur d'un monastère près de Zéli (Locride). — Eustratiadis, Ἐφημ. Ἀρχ., 1874, n° 443 (p. 490). — Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 1502. — C.I.G.S., III, 278.

Θεός. Ἀγαθᾶι τύχαι. Ἄρχοντος Ὀρθομενίδα· Ἔδοξε τοῖς περὶ τὸν | Διόνυσον τεχνίταις τοῖς ἐξ Ἰσθμοῦ καὶ Νεμέας, συντελοῦ-

σιν δὲ ἐν Ὀ|ποῦντι· Ἐπειδὴ Σωτέλης Σωσίνου ἀνὴρ καλὸς κἀγαθὸς διὰ προγόνων | εὔνους ὑπάρχων τοῖς τεχνίταις καὶ λέγων καὶ πράσ(σ)ων τὰ συμφέρο[ν]τα καὶ καθ' ἰδίαν ἑκάστωι καὶ κατὰ κοινὸν πάσαι τᾶι συνόδοι, ἀπόδε[ι]|ξιν τὰγ καλλίσταν ποιούμενος τᾶς ποτὶ τοὺς θεοὺς εὐσεβείας | καὶ τᾶς ποτὶ τὸ κοινὸν τ[ῶν τεχν]ιτᾶν εὐνοίας, ὁμοίως δὲ καὶ ἁ | γυνὰ αὐτοῦ Ξενόλα [Ἀ]μεινία ἐν τᾶι ἀνιερώσει, ἆι ἐποιήσα[ντο] | τῶι Ἀπόλλωνι καὶ τῶι Ἑρμᾶι καὶ ταῖς Μούσαις, πρόνοιαν ἐ[ποι]||ήσαντο κατὰ κοινὸν τ[ὰ]ν ἀρίσταν ὑπὲρ τᾶς συνόδου τῶν [τε]|χνιτᾶν, διασαφήσαντες ἐν τᾶι ἀνιερώσει, ὅπως καθ' ἕκασ[τον] | ἐνιαυτὸν λαμβάνη ἁ σύνοδος τῶν τεχνιτᾶν ἀργύριον εἰς θ[υ]|σίας τῶι Ἀπόλλωνι καὶ τῶι Ἑρμᾶι καὶ ταῖς Μούσαις· ὅθε[ν] | διὰ πάντα τὰ προειρημένα φιλοφρόνως ἁ σύνοδος ἀποδε[χο]||μένα τὰν [εὐεργεσίαν] Σωτέλεος καὶ Ξενόλας, ἐκάλεσε ----

1014. Iasos. (Vers 151 av. J.-C.) — Gravé sur la base du mur du théâtre. — Lebas-Waddington, 281. — Lüders, *Dionys. Künstler*, p. 181 s. — Foucart, *De collegiis scenicorum artificum*, p. 58 s. (trad.)

Γνώμη τοῦ κοινοῦ τῶν περὶ τὸν Διόνυ[σον τεχ]νιτῶν [τῶ]ν ἐν Ἰωνίαι [κ]α[ὶ] Ἑλλησ|πόντωι καὶ τῶν περὶ τὸν καθηγημόνα Δι[ό-νυ]σον. Ἐπειδὴ Ἰασεῖς φίλοι καὶ οἰκεῖο[ι κ]α[ὶ] | εὐ[εργέ]ταὶ ὑπάρχοντες καὶ [τὴν μεγίστην σπουδὴν καὶ] φιλίαν ἔργ[ωι καὶ λόγωι | δηλ]οῦντες τὴν πρὸς τοὺ[ς πρεσβευτὰς ---]ον κα[ὶ Με]νέδημον, [δια||τηρ]οῦντες δὲ καὶ τὰ δεδο[γμένα τῶι κ]οινῶι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν ὑπο|[κρινομέ]νων κατὰ τὰς [διαγραφὰς τῶν Ῥωμ]αίων τῶν κοινῶν [των] τ[εχνι]τῶν Ἀσ[ίας] σωτήρων ἔν τε τοῖς πρότερον χρόνοις [πᾶσ]αν σπουδὴν καὶ φιλοτιμίαν δείξαν|[τες] περὶ τῆς τῶν ἀγώνων ερ------- τὴν αἵρεσιν ἔχοντες -- | τ[---------- κ]αὶ ἐκτένειαν ἐν δὲ τῶι ν[ῦν καιρῶι] || σκ[----- χ]ρήματα καλ-----αιρ--· ἀγ[αθῆι τ]ύχηι, | δεδόχθαι [τῶι] κοινῶι [τῶν περὶ τ]ὸν Διόνυσον τεχνιτῶν· ἵνα ------ | σωτηρίας τ[--- τ]ῶι Διονύσωι καὶ Ἰασεῦσιν εἰς τοὺς ----- | παρὰ τοῖς τῶι Διονύσωι ἀγ-- τῶν ἐνγεγραμμένων τεχνιτῶν καὶ με|τεχόντων τῆς [ἐ]ν [Ἰ]α[σῶι] ἐ[κτενείας] καὶ φιλίας ὑπαρχούσης ἡμῖν ἐκ παλαιῶν χρόνων || αὐλητὰς δύο, τραγῳδοὺς δύο, κωμῳδοὺς δύο, κιθαρῳδόν, κιθαριστήν, ὅπως [συν]|άγωσιν τῶι θεῶι τοὺς [χ]οροὺς κατὰ τὰς πατρίας αὐτῶν διαγραφάς, προσμεῖναι δὲ τού|των καὶ τὰς ὑπηρεσίας ------· τοὺς δὲ νεμηθέντας πάντας ἐπι|τελεῖσαι τοὺς τῶν Διονυσίων ἀγῶνας ἐν τοῖς ὡρισμένοις καιροῖς | πάντα παρασχόντας ἀκο-

λούθως τοῖς Ἰασέων νόμοις· ὃς δὲ τῶν || νεμ[η]θέντων ὑπὸ τοῦ πλήθους μὴ παραγένηται εἰς Ἰασόν, ἢ μὴ [τε]|λ[εί]σηι τοὺς ἀγῶνας ἀποτεισάτω τῶι κοινῶι τῶν περὶ τὸν Διόνυσον τε|χνιτῶν Ἀντιοχ[ι]κὰς δραχμὰς χιλίας ἱερὰς ἀπαραιτητοὺς τοῦ θεοῦ, ἐὰν μή | τις δι' ἀσθένειαν ἢ διὰ χειμῶνα ἀδύνατος γένηται· τούτωι δὲ ἔστω παραί|τησις τῆς ζημίας ἀπολογισαμένωι ἐπὶ τοῦ πλήθους καὶ ἐμφανεῖς τὰς || δείξεις εἰσενεγκαμένωι καὶ ἀπολυθέντι ψήφωι κατὰ τὸν νόμον· | ἵνα δὲ καὶ Ἰασεῖς ἐπιγειν[ώ]σκωσιν τὴν τοῦ πλήθους ἡμῶν σπουδὴν | καὶ ἣν ἔχομεν πρὸς τοὺς φίλους ἐκτένειαν ἐν τοῖς ἀναγκαιοτά|τοις καιροῖς, ἑλέσθαι πρεσβευτάς, οἵτινες ἀφικόμενοι εἰς Ἰασὸν | καὶ ἀναδόντες τόδε τὸ ψήφισμα τοῖς προστάταις καὶ ἐπελθόν||τες ἐπὶ τὴν βουλὴν καὶ τὸν δῆμον καὶ ἐμφανίσαντες περὶ | τῶν ἐψηφισμένων τιμῶν αὐτοῖς καὶ ἀνανεωσάμενοι τὰ διὰ προ|γόνων ὑπάρχοντα πρὸς ἀλλήλους φιλάνθρωπα παρακαλέσουσιν Ἰασεῖς | διαφυλάσσειν τὴν πρὸς τὸ κοινὸν τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν | οἰκειότητα συναύξοντας τὴν φιλίαν ἀκολούθως τῆι διὰ προγόν[ω]ν || ὑπαρχούσηι εὐνοίαι. Πρεσβευταὶ [ἡ]ιρέθησαν Πλουτιάδης κιθαρῳδός, | Λυσίμαχος ποιητὴς τραγῳδιῶν, — Νικόστρατος συναγωνιστὴς | τραγικός. — Οἵδε ἐνεμέθησαν σὺν ταῖς ὑπηρεσίαις· — αὐληταί, | Τιμοκλῆς, — Φαίτας· — τραγῳδοί, Ποσειδώνιος, Σωσίπατρος· | κωμῳδοί, — Ἀγάθαρχος, Μοιρίας· κιθαρωιδός, Ζηνόθεος· κιθαριστής, || Ἀπολλώνιος Σά—μιος. — Ἐπὶ στεφανηφόρου Ἀπόλλωνος τοῦ τρίτου μετὰ Μένητα Τυρταίου, Ἀπατουριῶνος ἕκτη, ἐκυρώθη.

1015. Téos. (Milieu du IIe s. av. J.-C.) — Plaque de marbre trouvée à Délos, actuellement au musée du Louvre (*Cat. somm. des marbres antiques*, 841). — C.I.G., 3067. — Frœhner, *Inscr. grecques du Louvre*, 67. — Cf. Lüders, *Dionys. Künstler*, p. 177 (cf. p. 75 s.). — Scheffler, *De rebus Teiorum*, p. 90. — Hirschfeld, *Sitzungsber. der Berl. Akad.*, 1888, p. 834. — Poland, *De collegiis artificum Dionysiacorum*, p. 10 s.

Τὸ κοινὸν τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν, τῶν ἐπ' Ἰωνία[ς] | καὶ Ἑλλησπόντου, καὶ τῶν περὶ τὸν καθηγεμόνα Διό[νυσον στεφανοῖ] | Κράτωνα Ζωτίχου εὐεργέτην ἀρετῆς ἕνεκα καὶ [εὐνοίας] | ἣν ἔχων διατελεῖ εἰς τὸ κοινὸν τῶν περὶ τὸν Διόνυσον [τεχνιτῶν]. || Ἔδοξεν τῶι κοινῶι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν τῶν ἐπ' Ἰωνίας καὶ Ἑλλ[ησπόντου, καὶ τῶν περὶ τὸν | καθηγε]μόνα Διόνυσον· Ἐπειδὴ Κράτων Ζωτίχου αὐλητής, πρότερόν τε [ἱερεὺς αἱρεθεὶς τοῦ Διονύσου καὶ | ἀγων]οθέτης, καλῶς καὶ ἐνδόξως

a. l. 22 : † W. W. Jahrh des öst. arch. Inst. 1909, p. 129.

προέστη τῆς τε ἱερωσύνης καὶ [τῶν ἀγώνων, καὶ νῦν δὲ δοκῶν πάν|τ]ως ἄξιος εἶναι ταύτης τῆς τιμῆς, ὑπὸ τοῦ πλήθους τῶν τεχνιτῶν καὶ [ἱερεὺς κατασταθεὶς | τ]οῦ Διονύσου καὶ ἀγωνοθέτης ἐν τῶι αὐτῶι ἔτει, ὑπερθέμενος τοὺς [πρὸ αὐτοῦ πάντας ἱερέας τε | κ]αὶ ἀγωνοθέτας τῆι τε χορηγίαι καὶ τῆι δαπάνηι καὶ τῆι αὐτοῦ μεγα[λοπρεπείαι, καλῶς καὶ ἐνδό|ξ]ως καὶ ἀξίως τῆς συνόδου πάντα τὰ πρὸς τιμὴν καὶ δόξαν ἀνήκοντα [ἐποίησε τῶι τε Διονύ]|σωι καὶ ταῖς Μούσαις καὶ τῶι Ἀπόλλωνι τῶι Πυθίωι καὶ τοῖς ἄλλοις θεοῖ[ς καὶ τοῖς τε βασι]|λεῦσι καὶ ταῖς βασιλίσσαις καὶ τοῖς ἀδελφοῖς βασιλέως Εὐμένου καὶ τῶι [κοινῶι τῶν περὶ τὸν Διόνυ]|σον τεχνιτῶν ἀποδεικνύμενος τὴν αὑτοῦ καλοκἀγαθίαν καὶ εὐσέβε|ιαν, καὶ ἐμ παντὶ και]|ρῶι καὶ ἰδίαι καὶ κοινῆι ἀεί τινος ἀγαθοῦ παραίτιος γινόμενος, ὅπω[ς διαμένηι εἰς τὸν ἀεὶ] | χρόνον ἡ παρὰ τῶν τεχνιτῶν ἀθάνατος δόξα, οὓς καὶ θεοὶ καὶ βασιλ[εῖς καὶ πάντες Ἕλ]|ληνες τιμῶσιν, δεδωκότες τήν τε ἀσυλίαν καὶ ἀσφάλειαν πᾶσι τ[εχνίταις καὶ πολέμου καὶ εἰ]|ρήνης, κατακολουθοῦντες τοῖς τοῦ Ἀπόλλωνος χρησμοῖς, δι᾽ οὓς [καὶ τοῖς ἀγῶσι τοῖς τοῦ] | Ἀπόλλωνος τοῦ Πυθίου καὶ τῶν Μουσῶν τῶν Ἑλικωνιάδων καὶ τοῦ [Ἡρακλέους, ἐν Δελφοῖς μὲν τοῖς] | Πυθίοις καὶ Σωτηρίοις, ἐν Θεσπιαῖς δὲ τοῖς Μουσείοις, ἐν Θήβαις δὲ το[ῖς Ἡρακλείοις, ἐνέκριναν αὐτοὺς οἱ] | ἐκ πάντων τῶν Ἑλλήνων εὐσεβέστατοι· ἀγαθῆι τύχηι, δεδόχθαι [τῆι συνόδωι, ἵνα φαίνηται τιμῶ]|σα τοὺς αὑτῆς εὐεργέτας καταξίως τῶν εὐεργετημάτων, στεφανῶ[σαι Κράτωνα Ζωτίχου αὐλη|τ]ὴν εὐεργέτην καθ᾽ ἕκαστον ἔτος εἰς ἀεὶ ἐν τῶι θεάτρωι ἐν ἧι ἡμέ[ραι ἂν ἡ πομπὴ γί|νη]ται, μετὰ τὴν στεφάνωσιν τῶν δήμων, στεφάνωι τῶι ἐκ τοῦ νόμο[υ, ἀρετῆς ἕνεκα καὶ εὐ|ν]οίας ἣν ἔχων διατελεῖ εἰς τὸ κοινὸν τῶν περὶ τὸν Διόνυσον τεχνιτῶ[ν, τῆς δὲ ἀνακηρύξεως τῆς τοῦ στ|εφ]άνου ἐπιμέλειαν ποιεῖσθαι τὸν ἑκάστοτε γινόμενον ἀγωνοθέτην· [ἀναθεῖναι δὲ αὐτοῦ καὶ εἰκόνας | τ]ρεῖς, τὴν μὲν μίαν ἐν Τέωι ἐν τῶι θεάτρωι, ὅπως οἱ καθ᾽ ἕκαστον [ἔτος γινόμενοι ἀγωνοθέται ἐν τῆι | π]ανηγύρει, καὶ ὅταν ἡ Τηΐων πόλις συντελῆι Διονύσια ἢ ἄλλον τιν[ὰ ἀγῶνα, στεφανώσουσι τὴν εἰκόνα] | τὴν Κράτωνος στεφάνωι τῶι ἐκ τοῦ νόμου ὡς πάτριόν ἐστι τοῖ[ς τεχνίταις στεφανοῦν τοὺς αὐ]|τῶν εὐεργέτας, τὴν δὲ ἄλλην ἐν Δήλωι, ὅπως καὶ ἐκεῖ στεφανω[θήσεται ὑπὸ τοῦ κοινοῦ τῶν τε]|χνιτῶν, τὴν δὲ τρίτην οὗ ἂν ἀναθῆι Κράτων, ἵνα εἰς ἅπαντα τὸν [χρόνον ὑπομνήματα ἦι Κράτωνί τε τῆς πρὸς] | τὸ θεῖον εὐσεβείας καὶ τῆς εἰς τοὺς βασιλεῖς καὶ βασιλίσσας [καὶ τοὺς ἀδελφοὺς] | βασιλέως Εὐμένου καὶ τὸ κοινὸν τῶν περὶ τὸν Διό-

νυσον τεχ[νιτῶν εὐνοίας], | καὶ τῆι συνόδωι τῆς εὐχαριστίας. διότι τὸν αὑτῆς εὐεργέτ[ην Κράτωνα ἐτίμησεν ἀπο]||διδοῦσα χάριτας τὰς δικαίας τῶν εὐεργετημάτων· ἀναγρ[άψαι δὲ τόδε τὸ ψήφισμα] | εἰς στήλην λιθίνην καὶ στῆσαι παρὰ ταῖς εἰκόσι ταῖς Κρ[άτωνος· πέμψαι δὲ καὶ πρέσβεις] | δύο πρὸς τὸν δῆμον τὸν Τηΐων οἵτινες αἰτήσονται τόπο[ν ἐν ὧι ἀνατεθήσεται] | ἡ εἰκὼν Κράτωνος, καὶ ἄλλους πρὸς τὸν δῆμον τὸν Δηλίων, [οἵτινες παραγενόμενοι] | ἐπελθόντες ἐπὶ τὸν δῆμον καὶ τὴν βουλὴν ἀξιώσουσιν α[ὐτῶν τοὺς πρυτά]||νεις δοῦναι τῆι συνόδωι τῶν τεχνιτῶν τὸν τόπον, ἐν ὧι [ἀνατεθήσεται ἡ εἰκών.

1016. Téos. (Milieu du II[e] s. av. J.-C.) — Marbre trouvé à Téos, actuellement au musée Fitzwilliam à Cambridge. — C.I.G., 3068. — Lüders, *Dionys. Künstler*, p. 179 (cf. p. 75 s.). — Cf. Foucart, *De collegiis scen. artif.*, p. 26 s. — Le marbre porte deux décrets et le commencement d'un troisième en l'honneur du même personnage. — Nous avons revu le texte sur un estampage que nous devons à l'obligeance de M. E. S. Roberts.

A. Ἐπὶ ἱερέως Σατύρου, καὶ ἀγωνοθέτου κ[αὶ] | ἱερέως βασιλέως Εὐμένου Νικοτέλου[ς]. | Ἔδοξεν τῶι κοινῶι τῶν περὶ τὸν Διόνυσον τεχνι|τῶν τῶν ἐπ' Ἰωνίας καὶ Ἑλλησπόντου καὶ τῶν πε[ρὶ] || τὸν καθηγεμόνα Διόνυσον· Ἐπειδὴ Κράτων Ζωτίχου | αὐλητὴς εὐεργέτης ἔν τε τῶι πρότερον χρόνωι τῆ[ν] | πᾶσαν σπουδὴν καὶ πρόνοιαν εἶχεν τῶν κοινεῖ συμφε|ρόντων τεῖ συνόδωι καὶ τιμηθεὶς ἀξίως ὧν εὐεργέτη|κεν ὑπερτίθεται τεῖ εὐνοίαι καὶ φιλοτιμίαι τεῖ εἰς τοὺς || τεχνίτας, πάντα πράττων τὰ συμφέροντα· — δεδόχθαι | τῶι κοινῶι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν· ἐπαινέσαι | μὲν Κράτωνα Ζωτίχου αὐλητὴν εὐεργέτην ἐπὶ τῶι τὴν | αὐτὴν ἔχειν αἰεὶ προαίρεσιν τῆς εὐεργεσίας τῆς εἰς | ἅπαντας τοὺς τεχνίτας· προσδοῦναι δὲ αὐτῶι πρὸς || ταῖς προϋπαρχούσαις τιμαῖς ἀνακήρυξίν τε στεφά|νου τοῦ ἐκ τοῦ νόμου ἣμ ποιήσεται αἰεὶ ἐν τῶι θεάτρωι ὁ | ἑκάστοτε γινόμενος ἀγωνοθέτης καὶ ἱερεὺς βασιλέως | Εὐμένου ἐν τῆι βασιλέως Εὐμένου ἡμέραι ὅταν ἥ τε πομπὴ | διέλθηι καὶ αἱ στεφανώσεις συντέλωνται· ὁμοίως δὲ || καὶ παρὰ τὸν πότον γινέσθω τῆι αὐτῆι ἡμέραι μετὰ τὰς | σπονδὰς ὑπὸ τῶν ἀρχόντων ἡ ἀναγγελία τοῦ στεφάνου. | Παρατίθεσθαι δὲ καὶ ἐν ταῖς θέαις καὶ ἐν ταῖς πομπαῖς πα|ρὰ τὸν ἀνδριάντα τὸν Κράτωνος τὸν ἐν τῶι θεάτρωι τρίπο|δά τε καὶ θυμιατήριον, καὶ τῆς ἐπιθυμιάσεως τὴν ἐπιμέλει||αν καθ' ἕκαστον ἔτος αἰεὶ ποιεῖσθαι τὸν ἀγωνοθέτην καὶ | ἱερέα βασιλέως Εὐμένου γινόμενον. — |

B. Ἔδοξεν τῶι κοινῶι τῶν συναγωνιστῶν· Ἐπειδὴ Κράτων | Ζωτίχου Καλχηδόνιος αὐλητὴς εὔνους ὢν διατελεῖ τῶι κοινῶι τῶν συναγωνιστῶν καὶ λέγων καὶ | πράττων αἰεὶ τὰ συμφέροντα τοῖς συναγωνισταῖς, || ἱερεύς τε αἱρεθεὶς πρότερον τὴν πᾶσαν ἐπιμέλειαν | ἐποιήσατο, τάς τε θυσίας συνετέλεσεν πάσας, ὁσί|ως μὲν τὰ πρὸς τοὺς θεοὺς καὶ τοὺς βασιλεῖς, καλῶς | δὲ καὶ ἐνδόξως τὰ πρὸς πάντας τοὺς συναγωνιστάς, | οὔτε δαπάνης οὔτε φιλοτιμίας οὐθὲν ἐλλείπων, καὶ || νῦν δὲ ἀγωνοθέτης γενόμενος καλῶς τῶν ἀγώνων | προστὰς καὶ τοῖς νόμοις ἀκολουθήσας αἰείμνηστον | τοῖς ἐπιγινομένοις κατέλιπεν τὴν ἀρχήν· — ἵνα οὖν καὶ | οἱ συναγωνισταὶ ἐμ παντὶ καιρῶι φαίνωνται τιμῶντες | τοὺς ἐξ ἑαυτῶν· δεδόχθαι τῶι κοινῶι τῶν συναγωνισ||τῶν· στεφανοῦν Κράτωνα Ζωτίχου Καλχηδόνιον διὰ | βίου ἔν τε τῶι κοινῶι δείπνωι τῶν συναγωνιστῶν καὶ ἐν | τῶι θεάτρωι, ποιουμένους τὴν ἀναγόρευσιν τήνδε· — <το> | Τὸ κοινὸν τῶν συναγωνιστῶν στεφανοῖ Κράτωνα Ζωτίχου | Καλχηδόνιον στεφάνωι τῶι ἐκ τοῦ νόμου ἀρετῆς ἕνεκεν || καὶ εὐνοίας ἧς ἔχων διατελεῖ εἰς τοὺς συναγωνισ|τάς. Τῆς δὲ ἀναγγελίας τῆς τοῦ στεφάνου ἐπιμε|λεῖσθαι τοὺς ἄρχοντας τοὺς κατ' ἐνιαυτὸν αἱρου|μένους. Ἵνα δὲ καὶ τοῖς ἄλλοις πᾶσιν φανερὰ ἦι εἰς | τὸν ἅπαντα χρόνον ἡ τῶν συναγωνιστῶν εὐχαρισ||τία, ἀναγράψαι τὸ ψήφισμα τόδε εἰς στήλην λιθίνην | καὶ στῆσαι πρὸς τῶι Διονυσίωι ἐν τῶι ἐπιφανεστά|τωι τόπωι. Ἀναθεῖναι δὲ αὐτοῦ καὶ εἰκόνα ἐν τῶι Διονυ|σίωι γραπτὴν τελείαν ἐπιγράψαντας· Τὸ κοινὸν τῶν | συναγωνιστῶν στεφανοῖ Κράτωνα Ζωτίχου Καλ||χηδόνιον ἀρετῆς ἕνεκεν καὶ εὐνοίας τῆς εἰς αὐ|τούς.

C. Τῶν ἐν Ἰσθμῶι καὶ Νεμέαι τεχνιτῶν. | Ἐπειδὴ Κράτων Ζωτίχου Περγαμηνὸς αὐλητὴς κύ|κλιος πρότερόν τε πολλὰς καὶ μεγάλας παρέσ|χηται χρείας κατ' ἰδίαν τε τοῖς ἐντυγχάνουσιν
- - - - - -

1017. Ptolémaïs [Égypte]. (Milieu du iii^e s. av. J.-C.) — Stèle de calcaire blanc avec fronton. Trouvée dans une maison de Menshieh (Ptolémaïs), actuellement au musée de Gizeh. — Miller, *Bull. de Corr. Hell.*, IX (1885), p. 132 s. (trad.) — Cf. Strack, *Dynastie der Ptolemäer*, p. 226. — Wilhelm, *Gött. Gel. Anz.*, 1898, p. 211. — La liste est disposée en trois colonnes (I-III).

Ἔδοξεν τεχνίταις τοῖς περὶ τὸν Διόνυσον καὶ | θεοὺς ἀδελφούς. Ἐπειδὴ Λυσίμαχος Πτολεμαίου | Σωστρατεὺς ὁ ἱππάρχης καὶ πρύτανις διὰ βίου τήν τε | εἰς τὸν βασιλέα καὶ τοὺς τούτου

γονεῖς εὔνοιαν || καὶ πρότερον μὲν ἔτι καὶ νῦν δὲ διὰ πλειόνων ἀπο|δέδεικται, καὶ πρὸς τὸν Διόνυσον καὶ τοὺς ἄλλους | θεοὺς εὐσεβῶς καὶ ὁσίως διακείμενος τυγχάνει, | τοῖς τε τεχνίταις φιλανθρώπως ἅπαντα χρῆται, | καὶ κατ' ἰδίαν ἑκάστου καὶ κατὰ κοινὸν πάντων ἀντι||λαμβάνεται, προθύμως καὶ ἐκτενῶς ἑαυτὸν συν|επιδιδοὺς εἰς τὸ συναύξεσθαι τὸ τεχνίτευμα, | καλῶς δ' ἔχει τοὺς τοιούτους τῶν ἀνδρῶν ἐπι|σημαινομένους τιμᾶν ταῖς πρεπούσαις τιμαῖς· | δεδόχθαι τῶι κοινῶι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν || ὧν καὶ τὰ ὀνόματα ὑπογέγραπται· στεφανῶσαι | Λυσίμαχον κίττου στ[ε]φάνωι κατὰ τὰ πάτρια | τῇ ια' τοῦ Περιτίου μηνὸς τοῖς Διονυσίοις ἀρετῆς | ἕνεκα καὶ εὐσεβείας τῆς εἴς τε βασιλέα Πτολεμαῖον | καὶ τὸν Διόνυσον καὶ τοὺς ἄλλους θεοὺς καὶ εὐνοίας || τῆς εἰς τὸν βασιλέα καὶ τοὺς τούτου γονεῖς καὶ τῆς | εἰς τοὺς τεχνίτας· τύχηι τῆι ἀγαθῆι, ἀναθεῖναι δ' αὐτ[οῦ] | καὶ εἰκόνα γραπτὴν ἐν τῆι προστάδι τοῦ πρυτανείου· | ἀναγράψαι δὲ καὶ τὸν γραμματέα τοῦ κοινοῦ | Δήμαρχον τὸ ψήφισμα τόδε εἰς στήλην καὶ ἀναθεῖναι || πρὸ τοῦ νεὼ τοῦ Διονύσου· τὸ δ' εἰς ταῦτ' ἀνάλωμα | δοῦναι τὸν οἰκονόμον Σωσίβιον. — |

Ζώπυρος ὁ πρὸς τοῖς ἱεροῖς τῆς τριετηρίδος καὶ | ἀμφιετηρίδος καὶ τούτου ἀδελφοὶ |

I. Διονύσιος || Ταυρῖνος· | τραγῳδιῶν ποιηταί, | Φαίνιππος | Διόγνητος· | κωμωιδιῶν ποιηταί, || Στραταγός | Μουσαῖος· | ἐπῶν ποιηταί, | Δήμαρχος | Θεογένης || Ἀρτεμίδωρος· κιθαρῳδός, | Μένιππος· | κιθαριστής, | Ἡράκλειτος· || ὀρχηστής, | Πτολεμαῖος - - -

II. τραγῳδός, || Μητρόδωρος· | κωμῳδοί, | Τελέμαχος | Ἀγαθόδωρος | Ἀπολλώνιος || Ἀσκληπιόδωρος Ἀπολλωνίου | Ἀπολλώνιος | Διόδωρος· συναγωνισταὶ τραγικοί, | Ἀπολλωνίδης Ἀρδῶνος || Κλεῖτος | [Π]τολεμαῖο<ι>ς | [Ζώ]πυρος· | [χορ]οδιδάσκαλ[ος] - - - -

III. αὐλητὴς τραγικός, | Θραικίδης· || σαλπικτής, | Θρασύμαχος· | σκευοποιός, Βάτων· | πρόξενοι, | Δημήτριος || Φαίδιμος | Ἀρτεμίδωρος | Σπουδί[ας] | Διονύσιος· | φιλοτεχνῖται, || Δημήτριος | Στέφανος | Λέων | Ἀρτεμίδωρος | Δημήτριος | Ἀριστόνους - - - -

Le marbre porte, ligne 16, ΣΤΣΦΑΝΩΙ.

1018. Ptolémaïs. (Milieu du IIIe s. av. J.-C.) — Stèle de pierre calcaire provenant de Menshieh, actuellement au musée de Gizeh. — Miller, *Bull. de Corr. Hell.*, IX (1885), p. 140 s. — Strack, *Dynastie der Ptolemäer*, p. 225. — Cf. Jouguet, *Bull. de Corr. Hell.*, XXI (1897), p. 191 s.

Ἔδοξεν τοῖς τεχνίταις τοῖς περὶ τὸν | Διόνυσον καὶ θεοὺς ἀδελφοὺς καὶ τοῖς | τὴν σύνοδον νέμουσιν· στεφανῶσαι | Διονύσιον Μουσαίου πρύτανιν διὰ βίου | κισσοῦ στεφάνωι κατὰ τὰ πάτρια, εὐνοίας ἕνεκα | τῆς εἰς τὴν πόλιν τὴν Πτολεμαιέων | καὶ τοὺς τεχνίτας τοὺς [περὶ] τὸν μέγαν | Διόνυσον καὶ θεοὺς ἀδελφούς· | ἀναγ[ορε]ῦσαι δὲ τὸν στέφανον τοῖς || Διονυσίοις καὶ ἀναγραφῆναι [τὸ] | ψήφισ[μα] τόδε εἰς στή[λ]ην [καὶ] ἀναθεῖναι | πρὸ τοῦ νεὼ τοῦ Διονύσου· τὸ δὲ ἀνάλωμα | τὸ εἰς τὴν στήλην δοῦναι τὸν οἰ[κον]όμο[ν] | Σωσίβιον.

DÉDICACES, IMPRÉCATIONS, INVOCATIONS

Offrandes aux dieux.

Athènes

1019. (Fin du vi[e] s. av. J.-C.) — Deux fragments d'une plinthe de marbre, trouvés près de l'Ilissus. — Mylonas, *Bull. de Corr. Hell.*, I (1877), p. 350. — Koumanoudis, Ἀθήναιον, VI (1877), p. 149. — Hicks, 9. — C.I.A., IV, 1, 373[e] (p. 41). — Roberts, 56. — Praeger, *Insc. gr. metricae*, 71. — Hoffmann, *Syll. epigr. gr.*, 238. — Cf. Thucydide, VI, 54. — Heydemann, *Hermes*, XIV (1879), p. 317. — Szanto, *Wiener Studien*, III, (1881), p. 55.

Μνε̃μα τόδε hε̃ς ἀρχε̃ς Πεισίσ[τρατος Ἱππίο] υἱὸς
Θε̃κεν Ἀπόλλονος Πυ[θίο] ἐν τεμένε[ι]. —

1020. (2[e] moitié du v[e] s. av. J.-C.) — Piédestal de statue adossé à la dernière colonne S. du portique E. des Propylées. — Ross, *Archäol. Aufs.*, I, p. 188. — Rangabé, *Ant. Hell.*, 43. — C.I.A., I, 335. — Hicks, 38. — Dittenberger, 365. — Lœwy, *Inschr. griech. Bildh.*, 53. — Cf. Pausanias, I, 23, 4. — Plutarque, *Périclès*, 13. — Michaelis, *Athen. Mitth.*, I (1876), p. 284 s. — Bohn, *Ibid.*, V (1880), p. 331 s. — Wolters, *Ibid.*, XVI (1891), p. 153 s. — J. Harrison, *Mythology and Monum. of anc. Athens*, p. 390 s.

Ἀθεναῖοι τε̃ι Ἀθεναίαι [τ]ε̃ι Ὑγιείαι· |
Πύρρος ἐποίησεν Ἀθεναῖος.

1021. *Confédération Athénienne.* (Vers 365 av. J.-C.) — Base de marbre pentélique brisée à gauche, trouvée à l'ouest du temple de Jupiter Olympien à Athènes. — Koumanoudis, I (1872), p. 172. — C.I.A., II, 1154. — Dittenberger, 2[e] éd., 97.

Ἀθηναῖοι καὶ] οἱ σύμμαχοι | [ἀνέθηκαν τῶ]ι Ἀπόλλωνι | [δεκάτην ἀπὸ τῶ]μ πολεμίων. —

1022. *Conseil des Cinq-Cents.* (332/1 av. J.-C.) — Base de marbre brisée en cinq morceaux. Στοιχηδόν. — C.I.A., II, 1157. — Cf. pour la restitution du début notre décret n° 100.

Ἡ βουλὴ ἀνέθηκεν τῶι [Ἡφαίστωι] | ἡ ἐπὶ Νικήτου ἄρχ[ο]ν-

[τ]ος | στεφανω[θεῖ]σ[α ὑπὸ τ]οῦ δήμου | ἀρε[τῆς ἕνεκα καὶ δι]καιοσύνης. —

1023. *Conseil des Cinq-Cents.* (Fin du IIIe s. av. J.-C.) — Autel de marbre pentélique trouvé à Athènes. — Lolling, Δελτίον, 1891, p. 126 s. — E. G[ardner], *Journ. of Hell. Stud.*, XIII (1892-93), p. 142. — C.I.A., IV, 2, 1161b (p. 248).

Ἡ βουλὴ ἡ ἐπὶ Διονυσίου ἄρχοντος ἀνέθηκεν | Ἀφροδίτει ἡγεμόνει τοῦ δήμου καὶ Χάρισιν. | Ἐπὶ ἱερέως Μικίωνος τοῦ Εὐρυκλείδου Κηφισιέως· | στρατηγοῦντος ἐπὶ τὴν παρασκευὴν Θεοβούλου τοῦ Θεοφάνου Πειραιέως.

1024. *Prytanes.* (334/3 av. J.-C.) — Trois fragments de marbre trouvés dans une église d'Athènes. — Rangabé, *Ant. Hell.*, 1161. — C.I.A., II, 1183. — Cf. notre n° 647 qui faisait peut-être partie du même monument.

Ἀ]ντιοχίδος πρυτάνεις οἱ ἐπὶ Κτησι[κλέους ἄ]ρχοντος | [στ]εφανωθέντες ὑπὸ τῆς βουλ[ῆς καὶ] τοῦ δήμου | ἀρετῆς ἕνεκα καὶ δικα[ιο]σύνης.

1025. *Stratège.* (Comm. du IIIe s. av. J.-C.) — Marbre encastré dans le dallage d'une chapelle à Kalo-Livadi (Oropie). — C.I.G., 179. — Martha, *Bull. de Corr. Hell.*, IV (1880), p. 260. — Dittenberger, 336. — C.I.A., II, 1194.

[Σ]τρατηγὸς ἐπὶ τὴν χώραν τὴν παραλίαν | Θούκριτος Ἀλκιμάχου Μυρρινούσιος | στεφανωθεὶς ὑπὸ τῆς βουλῆς καὶ τοῦ δήμου | — ἀνέθηκεν. —

1026. *Stratège.* (Fin du IIIe s. av. J.-C.) — Plaque de marbre blanc trouvée à Sunium, actuellement au musée du Louvre. — C.I.G., 178. — Frœhner, *Inscr. grecques du Louvre*, 114. — C.I.A., II, 1195.

Θεόμνηστος Θεομνήστου Ξυπεταιών, | στρατηγὸς χειροτονηθεὶς ὑπὸ τοῦ δήμου | ἐπὶ τὴν χώραν τὴν παραλίαν ἐπὶ | Μενεκράτου ἄρχοντος ἀνέθηκεν.

1027. *Stratèges.* (95/4 av. J.-C.) — Base de marbre pentélique trouvée au Pirée. — Koumanoudis, Ἀθήναιον, VII (1878), p. 388. — Dittenberger, 335. — C.I.A., II, 1207.

Στ[ρ]ατηγοὶ οἱ ἐπὶ τὸν Πειραιᾶ ἐπὶ Ἡ[ρακλείτου ἄρχοντος στεφανωθέντες | ὑπὸ τῆς βουλῆς καὶ τοῦ δήμου Εὐπόλεμος | Ζωΐλου Παιανιεύς, Ζήνων Μενίσκου | Ἐρχιεύς, Ἀρισταγόρας Τρωΐλου Πειραιεὺς | Ἑρμεῖ ἡγεμονίωι ἀνέθηκαν.

1028. *Diétètes.* (325/4 av. J.-C.) — Base carrée en marbre de l'Hymette, trouvée sur l'Acropole. — Rangabé, *Ant. Hell.*, 1163. — C.I.A., II, 943. — Cf. Hubert, *De arbitris atticis*, Leipzig, 1885, p. 24 s. — Meier-Lipsius, *Der attische Process*, p. 101 s. — Pischinger, *De arbitris Atheniensium publicis*, Munich, 1893, p. 12 s. — La liste est disposée en six colonnes.

Δι]αιτηταὶ οἱ ἐπὶ Ἀντικ[λέους ἄρχοντος | ἀ]νέθεσαν στεφανωθέντε[ς ὑπὸ τοῦ δήμ]ο[υ]. |

I. Ἐ[ρ]εχθηΐδος· | Λαμπτρέες· || Νικίας, | Εὐθύφρων, | Χαρίσιος. | Ἐκ Κηδῶν· | Δημοκλῆς. || Εὐωνυμέες· | Αἰσχραῖος, | Εὔβιος, | Φάνυλλος, | Σωκράτης. || Ἀναγυράσιοι· | Ἀρχί[δ]αμος. | [Κη]φισιεῖς· | Δημάρατος, | Διοπείθης. || Φηγούσιοι· | Διονυσόδωρος, | Κάλλαισχρος. | Αἰγηΐδος· | Κολλυτέες· || Γλαυκωνίδης, | Μειδυλίδης. | Κυδαντίδαι· | Καλλιτέλης, | Θρασείας. || Ἐρχιέες· | Ἐπιγένης, | Θεόξενος. | —

II. Ἁλαιέες· | Νικήρατος, || Τιμόθεος. | Γαργήττιοι· | Ἐπικλῆς. | Ἰκαριεῖες· | Θεόδωρος || Κλεαίνετος. | Διομεῖες· | Δωρόθεος. | Ἑστιαιεῖς· | Ἡγησίας. || Πλωθέες· | Μαντίθεος. | Πανδιονίδος· | Προβαλίσιοι· | Στέφανος. || Παιανιεῖς· | Νέανδρος, | Μείδων. Λεων[τίδ]ος· | Λευκονοεῖς· || Διδυμίας. | Χολλεῖδαι· | Γνάθων, Δεινία[ς], | Στράτω[ν], || Σώδα[μο]ς. | —

III. Δειραδιῶται· | Φίλων, || Ἀταλόφρων, | Εὐθυκλῆς. | Φρεάρριοι· | Φιλοκήδης, | Στράτων. || Σου[ν]ιεῖς· | Ἀμφικλῆς. | Σκαμβωνίδαι· | Φυλακίδης. | Ἀκαμαντίδος· || Προσπάλτιοι· | Ἀρχίδαμος, | Φιλοκράτης, | Νικόστρατος, | Νικόστρατος. || Χολαργέες· | Ἀρισταίνετος. | Θορίκιοι· | Μνησίστρατος, | Χαιρέας. || Ἁγνούσιοι· | Νίκανδρος. | Πόριοι· | Φιλοκ--. | Οἰνηΐδος· || [Ὀῆ]θεν· | [Κ]λέανδρος, | Μενεκράτης. —

IV. Πτελεάσιοι· | Δημήτριος. || Ἀχαρνέες· | Αἰσχέας, | Ἐπιχάρης, | Μνησίμαχος, | Εὐκλῆς, || Ἀθηνόδωρος, | Πυθέας, | Πυθόδωρος, | Ἀντιχαρης. | Κεκροπίδος· || Ξυπεταιόνες· | Σύνδρομος, | Εὐκλῆς, | Μελήσανδρος, | Εὐκλείδης. || Ἁλαιεῖς· | Ἱεροφάνης, | Φιλοκράτης, | Δημόκριτος. | Αἰξωνέες· || Καλλιφάνης, | [Ἐξ]ηκεστίδης. | Δαιδαλίδαι· | Ξενοκλῆς· | Ἀθμονέες· || Χαιρεφῶν, | Εὔβιος. —

V. Μελιτ[έες]· | Ἡγησί[ας], Κλεαίνετος, | [Κ]ηφίσιος. Φλυέες· | Χαρίας. | Ἱπποθωντίδος· || Ἐξ Οἴου· | Αὐτόδικος, | Ἀριστόβουλος. | Οἰναῖοι· | Φανίας, || Καλλίας. | Πειραιεῖς· | Σωκράτης, | Ἀρίστων. | Κόπρειοι· || Σώ[στ]ρατος. |

Ἀχερδούσιοι· | Ἀρχέδημος. | Ἀζηνιῆς· | Εὐθυκράτης. | Αἰαντίδος· | Οἰναῖοι· | Ἐπιχάρης. | Ῥαμνούσ[ιοι]· | Φίλ[ω]ν, || Νίκω[ν], |

VI. Λυσίστρατος, | Λυσίστρατος. || Ἀφιδναῖοι· | Τελέσιππος. | Φαληρέες· | Ἡγησίας. | Μαραθώνιοι· | Ὀλυμπιόδωρος. | Τρικορύσιοι· | Λυσίμαχος. | Ἀντιοχίδος· | Σημαχίδαι· || Θρασύ[μα]χος. | Ἐροιάδαι· | Καλλιτέλης. | Παλληνέες· | Θεότιμος, Καλλίστρα[τος]. | Αἰγιλ[ι]ε[ῖς]· | Ἀστυμέ[δων], | Ἀρχέδ[ημος.] || Ἀλω]πε[κέες]· || Καλλιτέ[λης. —.

1029. Συλλογεῖς τοῦ δήμου. (351 50 AV. J.-C.) — Base carrée en marbre de l'Hymette. — C.I.A., II, 1174. — Cf. Kœhler, *Athen. Mitth.*, VII (1882), p. 103 s. — Voir notre n° 648.

Δήμου συλλογῆς [ἀ]ν[έθη]|καν οἱ ἐπὶ Θεέλλου ἄρχ[ον]|τος στεφανωθέντες | ὑπὸ τῆς βουλῆς καὶ τοῦ | δήμου δικαιοσύνης || ἕνε[κα].

Ὁ δῆμος. [Ἡ β]ο[υ]λή.

1030. *Collège de dix magistrats* [?]. (Milieu du IV° s. av. J.-C.) — Base carrée en marbre de l'Hymette. — Sauppe, *Gœtting. Nachr.*, 1865, p. 253 s. — Lœwy, 77 (p. 60). — C.I.A., II, 1177. — Nous avons revu le texte sur un estampage que nous devons à l'obligeance de M. Ad. Wilhelm.

Ἀρχένεως Ἀρχεμάχο[υ Ἀνα]γυρ[άσιος], | Μισγόλας Ναυκράτους Κ[ο]λλυτε[ύς], | Νικησίων Σωσιστράτου [Σο]υνιεύς, || Λυσανίας Λυσιστράτου [Θο]ρίκιο[ς], | Μνησίστρατος Μνησιμάχου Ἀχαρ[νεύς], | Εὐθύδομος Δημητρίου Μελιτεύ[ς], | Ἐξήκεστος Ἐξεκίου Ἀνακαιε[ύς], | Βούθηρος Διονυσίου Μαραθώνιο[ς], || Εὔθιππος Εὐθίου Παλληνε[ύς]. | Χαιρέστρατος Φανοστράτου Κηφισιεὺς ἐγραμμά[τευε]. | Ἰοφῶν Σοφοκλέους ἐκ Κολωνοῦ ὑπογραμματε[ύς]. |

Λεωχάρης ἐπόησε.

1031. *Cavaliers*. (2° moitié du V° s. av. J.-C.) — Base de marbre de l'Hymette trouvée sur l'Acropole. Στοιχηδόν. — Lolling, Δελτίον, 1889, p. 181. — C.I.A., IV, 1, 418[h] (p. 184). — Dittenberger, 2° éd., 15. — Cf. Kœpp, *Rhein. Mus.*, L (1895), p. 273. — Larfeld, *Handb. d. gr. Epigr.*, II, p. 60.

hΟι hι[ππ]ῆς ἀπὸ [τ]ôν πολεμίον, hιππαρ[χ]ό[ν]|τον Λακεδαιμονίο, Ξενοφôν[τ]ος, Προνα[. . | Λ]ύκ[ιος ἐ]ποίησεν Ἐλευθερεὺς Μύρον[ος].

1032. *Cavaliers dits Tarentins*. (Comm. du III° s. av. J.-C.) — Marbre de l'Hymette trouvé à Athènes. — Rangabé, *Ant. Hell.*, 1158. — C.I.A., II, 1218. — Cf. A. Martin, *Cavaliers Athéniens*, p. 418 s.

Οἱ Ταραντῖνοι ἀπὸ τῶν πολεμίων ἀνέθ[εσαν.

1033. *Éphèbes*. (333-330 av. J.-C.) — Pierre trouvée à Rhamnonte. — Foucart, *Rev. de Philol.*, XVIII (1894), p. 244. — C.I.A., IV, 2, 1571^{b} (p. 262).

Θε[ο]φάνης Ἱεροφ[ῶ]ντος Ῥαμνούσιος Ἑρμεῖ ἀνέθηκεν στεφανωθεὶς | ὑπὸ τῶν ἐφήβων καὶ τῶν σωφρονιστῶν καὶ τῶν κοσμητῶν. | Οἱ ἔφηβοι οἱ ἐπὶ Νικοκράτου ἄρχοντος. | Οἱ ἔφηβοι οἱ ἐπὶ Νικήτου ἄρχοντος. || Οἱ ἔφηβοι οἱ ἐπὶ Ἀριστοφάνου ἄρχοντος.

1034. *Éphèbes*. (136 av. J.-C.) — Base carrée trouvée au Pirée. — Dragatsis, Δελτίον, 1891, p. 114. — C.I.A., IV, 2, 1225^{b} (p. 252).

Οἱ ἐφηβεύσα[ντε]ς ἐπὶ Θεοδωρίδου | ἄρχοντος Ἑρμεῖ· | Δημόνικος Ἀπολλοδώρου Αἰξωνεύς, | Θεόμνηστος Κηφισοδώρου Παιανιεύς, || Σῶσος Εὐαρχίδου Οἶῆθεν· | παιδοτριβοῦντος Ἀπολλοδότου Ἁλιμουσίου.

1035. *Colons athéniens à Potidée*. (429 av. J.-C.) — Base de marbre pentélique trouvée sur l'Acropole, près des Propylées. — C.I.A., I, 340. — Hicks, 45. — Dittenberger, 26 (2^{e} éd., 28). — Cf. Thucydide, II, 70, 4.

Ἐποίκον | ἐς Ποτείδαιαν.

1036. Τετραπολεῖς. (Milieu du IV^{e} s. av. J.-C.) — Base de marbre pentélique trouvée à Marathon. — Lolling, *Athen. Mitth.*, III (1878), p. 261. — Dittenberger, 304. — C.I.A., II, 1324.

Τετραπολεῖς τῶι Διο|νύσωι ἀνέθεσαν· | Λυσανίας Καλλίου Τρικ|ορύσιος ἦρχεν. Ἱεροποιοί· || Φανόδωρος Μαραθώνιος | Μελά[ν]ωπος Τρικορύσιος | Φ[αι]νοκλῆς Οἰναῖος | Ἀντικράτης Προβαλίσιος.

1037. *Hiéropes*. (344/3 av. J.-C.) — Copié à Athènes par Pittakis. — Rangabé, *Ant. Hell.*, 1059. — C.I.A., II, 1180.

Ἱεροποιοὶ ἀνέθεσαν τῶι Θησεῖ οἱ ἐπὶ Λυκίσκου | ἄρχοντος ἐπαινεθέντες καὶ <ε>στεφανωθέντες | ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων δικαιοσύνης ἕνεκα.

1038. *Hiéropes*. (342/1 av. J.-C.) — Plaque de marbre pentélique trouvée au Pirée, actuellement au musée d'Athènes. — Koumanoudis, Ἐφημ. Ἀρχ., 1883, p. 249. — C.I.A., II, 1326.

Οἵδε ἱεροποιήσαντες ἀν|έθεσαν ἐπὶ Σωσιγένους ἄρχον(τος). | Νίκων, Εὐτυχίδης, | Δημοκλῆς :, Μαντίθεος.

1039. *Épimélète des mystères d'Éleusis*. (Fin du IV^{e} s. av. J.-C.) — Base de marbre pentélique trouvée à Éleusis. — Lenormant, *Recherches arch. à Éleusis*, p. 1. — Lœwy, 85^{a} (p. 66). — C.I.A., II, 1188. — Cf. Foucart, *Bull. de Corr. Hell.*, II (1878), p. 393.

Δήμητρι [κα]ὶ Κόρει | Ξενοκλῆς Ξείνιδος Σφήττιος | ἀνέθηκεν ἐπιμελητὴς | μυστηρί[ω]ν γενόμενος. |

Ἀριστοπείθης [Ἀριστων]ύμου Φυλάσιος ἐπόησεν.

1040. *Prêtresse d'Artémis.* (100 av. J.-C.) — Marbre blanc. — Milchhœfer, *Athen. Mitth.*, XII (1887), p. 325. — C.I.A., IV, 2, 1205^{b}, (p. 249).

Ε]ὐαμέρ[α] ἱέ[ρ]ε[ια] γενομένη διὰ βίο[υ ἐπὶ] | Μηδείου ἄρχοντος Ἀρτέμιδι ἀνέθη|κεν. | — Φοῖνιξ ἐποίει.

1041. *Arrhéphore.* (III^{e} s. av. J.-C.) — Base de marbre pentélique trouvée sur l'Acropole. — Kœhler, *Bull. dell' Inst. arch.*, 1865, p. 138. — Lœwy, 116 (p. 91). — C.I.A., II, 1383. — Cf. Hauvette-Besnault, *Bull. de Corr. Hell.*, III (1879), p. 489. — La signature paraît être plus récente que la dédicace.

Ἀθη]νᾶι καὶ Πανδρόσωι | --ος Διονυσικλέους Τρινεμεεὺ[ς τὴ]ν θυγατέρα Φίλαν ἀνέθηκεν | ἐρρηφορήσασαν. — || Ἐπὶ ἱερείας Θεοδότης Πολυόκτου | Ἀμφιτροπῆθεν. | — Καϊκοσθένης ἐπόησεν.

1042. *Initié de l'autel à Éleusis.* (Fin du II^{e} s. av. J.-C.) — Base de marbre de l'Hymette. — Philios, Ἐφημ. Ἀρχ., 1883, p. 146. — C.I.A., II, 1389.

Λυσίαν Ἀρτέμωνος Παιανιέα | Θεότιμος Θεοτίμου ἐγ Μυρινούττης | καὶ Θεοδότη Δωσιθέου ἐγ Μυρινούττης θυγάτηρ | καὶ Ὀνησακὼ Προτίμου ἐγ Μυρινούττης θυγάτηρ || ἀφ' ἑστίας μυηθέντα | Δήμητρι καὶ Κόρηι ἀνέθηκαν.

1043 Γένος *des Bacchiades.* (Fin du II^{e} s. av. J.-C.) — Autel de marbre pentélique trouvé près du théâtre de Dionysos. — Schœne, *Griech. Reliefs*, pl. III. — C.I.A., III, 97. — C.I.A., II, 1325.

Πιστοκράτης καὶ Ἀπολλόδωρος | Σατύρου Αὐρίδαι πομποστολήσαντες | καὶ ἄρχοντες γενόμενοι τοῦ γένους | τοῦ Βακχιαδῶν ἀνέθηκαν. —

1044. *Orgéons d'Esculape.* (I^{er} s. [?] av. J.-C.) — Base ronde près d'une église à Keratia (Attique). — Ross, *Demen von Attica*, p. 93. — Rangabé, *Ant. Hell.*, 1056. — C.I.A., II, 990.

Οἱ ὀρ[γ]εῶνες τῶι Ἀσκληπι[ῶ]ι ἀνέθεσαν· | Προσπάλτιοι· |

I. Ἀγαθαῖος Ἀγαθάρχου | Κριτόφαντος Θεομνήμονος || Δεξίθεος Κριτοφάντου, | Κριτόφαντος Θεαγενίδου | Εὔνικος Θεομνήμονος | Θεόφαντος Θεαγενίδου | Ἀμεινίας Ἀμειψίου Θεόμνηστος Θεαγενίδου —

II. Ἀγάθαρχος Ἀμειψίου | Αὐτοκλῆς Ἀγαθαίου || Δεινίας Διφιλίδου | Ἀνθεμίων Αἰσχύλου | Αἰσ[χύ]λος Διφιλίδου | Μει[δό]νι[κ]ος Ἀνδροκλέους | Μειδόκριτος Ἀνδροκλέους | Θεαγενίδης Κριτοφάντου.

1045. Πλυνῆς. (IVe s. AV. J.-C.) — Plaque de marbre pentélique trouvée dans le Stade, à Athènes, actuellement au musée de Berlin. — C.I.G., 455. — Michaelis, *Ann. dell' Inst. arch.*, 1861, p. 312 s. — C.I.A., II, 1327. — *Beschr. der ant. Skulpturen*, Berlin, 1891, p. 264 s. (n° 709) — Cf. Curtius, *Griech. Quellen- und Brunneninschr.*, Gœttingue, 1859, p. 25.

Οἱ πλυνῆς : Νύμφαις : εὐξάμενοι : ἀνέθεσαν : καὶ θεοῖς πᾶσιν, | Ζωαγόρας : Ζωκύπρου :, Ζώκυπρος : Ζωαγόρου :, Θάλλος :, Λεύκη, | Σωκράτης Πολυκράτους :, Ἀπολλοφάνης : Εὐπορίωνος :, Σωσίστρατος, | Μάνης :, Μυρρίνη :, Σωσίας :, Σωσιγένης :, Μίδας. —

1046. (FIN DU VIe s. AV. J.-C.) — Base d'ex-voto brisée à droite, trouvée sur l'Acropole. Στοιχηδόν. — Cavvadias, Ἐφημ. Ἀρχ., 1886, p. 81. — C.I.A., IV, 1, 373[91]. — Cf. Studniczka, *Jahrb. d. arch. Inst.*, II (1887), p. 135 s. — E. Gardner, *Journ. of Hell. Stud.*, X (1889), p. 278 et XI (1890), p. 215. — Heberdey, *Athen. Mitth.*, XV (1890), p. 1 s. — Lechat, *Bull. de Corr. Hell.*, XVI (1892), p. 494.

Νέαρχος ἀν[έθεκεν ho κεραμε]ὺς ἔργον ἀπαρχὲν [τἀθεναίας]· | Ἀντένορ ἐπ[οίεσεν h]ο Εὐμάρος τ[ὸ ἄγαλμα.

1047. (FIN DU VIe s. AV. J.-C.) — Gravé en cercle sur un piédestal ayant probablement supporté un περιρραντήριον. Trouvé sur l'Acropole. — Kœhler, *Athen. Mitth.*, X (1885), p. 77. — C.I.A., IV, 1, 373[84] (p. 87).

Σμικύθε πλύντρια δεκάτεν ἀνέθεκεν.

1048. (COMM. DU Ve AV. S. J.-C.) — Stèle en forme de pilier trouvée sur l'Acropole. — C.I.A., IV, 1, 373[99] (p. 89). — Hoffmann, *Syll. epigr. gr.*, 251. — Cf. Ἐφημ. Ἀρχ., 1887, p. 145. — Bormann, *Jahrb. d. arch. Inst.*, III (1888), p. 271.

Τίμαρχός ⁝ μ' ἀνέθεκε ⁝ Διὸς κρατερόφρ[ονι κόρει] |
Μαντεῖον φρασμοσύναι μετρὸς ἐπ[έραν μεγάλες].
Ὀνάτας ἐποίεσεν.

1049. (1re MOITIÉ DU Ve S. AV. J.-C.) — Base de marbre trouvée sur l'Acropole. — Rangabé, *Ant. Hell.*, 52. — C.I.A., I, 395. — Dittenberger. 8 (2e éd., 13). — Cf. Kirchhoff, *Hermes*, V (1870), p. 59. — Schöll, *Rhein. Mus.*, XXXII (1877), p. 148 s.

[Ἴ]ον ἀνέθεκεν ἄγ[αλμα τ]ἐι Ἀθεναίει.

1050. (Ve S. AV. J.-C.) — Gravé sur les parois d'une grotte près de Vari. — C.I.G., 456. — C.I.A., I, 423-30 (cf. IV, 1, p. 45).

I. Ἀρχέδημος ὁ Θ[ηραῖος ὁ νυμφ]όληπτος φραδ[αῖσι Νυμφῶν τ[]ἄντρον ἐξηργ[άξατο. — II. Ἀρχέδημος [ὁ Θηρ]]αῖος καὶ Χολ-[λεί][δης ταῖ[ς] Νύμ[[φαι]ς οἰκοδό[μησε]. — III. [Ἀρχέ]δαμος ho Θερ[[αῖο]ς κᾶπον Νύ[[μφ]αις ἐφύτευσεν. — IV. Ἀρχέδαμος | ὁ Θεραῖος. — V. Ἀρχέδημος, | Ἀρχέδημος. — VI. Χαρίτο[ν]. — VII. Πανός, Πανός. — VIII. Ἀπόλλωνος ⁝ Ἕρσο ⁝

Αἰ δ|έ τις πρίαιτο ε̂ κατάθειτο ε̂ ἐ|πισπένσαιτο, ἄλλαι δ᾽ ἔγρατ||[τα]ι ἆι τάδε τὰ γράμματα ἔγ|[ρατται, τὰ] μ[ὲ]ν — | κρέματα ἐπὶ τᾶι ματρὶ ε̂μ|εν κ᾽ ἐπὶ τᾶι γυναικί, ὁ δ᾽ ἀπο|δόμενος ε̂ καταθὲνς ε̂ ἐπι||σπένσανς το̂ι πριαμένοι | ε̂ καταθεμένοι ε̂ ἐπισπεν|σαμένοι διπλεῖ καταστα|σεῖ, κ᾽ αἴ τί κ᾽ ἄλλ᾽ ἄτας ε̂ι, τὸ ἁπ|λόον· το̂ν δὲ πρόθθα μὲ ἔν||δικον ε̂μεν. Αἰ δέ κ᾽ ὁ ἀντίμ|ολος ἀπομολε̂ι ἀνπὶ τὸ κρ|έος ο̂ι κ᾽ ἀνπιμολίοντι, μ|ὲ ε̂μεν τᾶς ματ[ρ]ὸς ε̂ τᾶ|ς γυναικός, μολε̂ν ὀπε̂ κ᾽ ἐπ||ιβάλλει παρ το̂ι δικαστᾶι, | ε̂ Fεκάστο ἔγρατται.

Αἰ δέ κ᾽ ἀ|ποθάνει μάτερ τέκνα καταλιπό|νσα, τὸν πατέρα καρτερὸν ε̂μεν | το̂ν ματροΐον, ἀποδόθαι δὲ μέ, || μεδὲ καταθέμεν, αἴ κα μὲ τὰ τέκ|να ἐπαινέσει δρομέες ἰόντε[ς. | Α]ἰ δέ τις ἄλλαι πρίαιτο ε̂ κατά|θειτο, τὰ μὲν κρέματα ἐπὶ τοῖ|ς τέκνοις ε̂μεν, το̂ι δὲ πριαμ||ένοι ε̂ καταθεμένοι τὸν ἀποδ|όμενον ε̂ τὸν καταθέντα τὰν | διπλείαν καταστᾶσαι τᾶς τ|ιμᾶς, κ᾽ αἴ τί κ᾽ ἄλλ᾽ ἄτας ε̂ι, τὸ ἁ|πλόον.

Αἰ δέ κ᾽ ἄλλαν ὀπυίει, τὰ τ|έκνα [το̂]ν [μ]ατροΐον καρτερὸν|ς ε̂μεν.

Αἴ κ᾽ ἐδδυ......... πε|ρα.... ἐκς ἀλλοπολίας ὑπ᾽ ἀν|άνκας ἐκόμενος κελο[μ]ένο τι|ς λύσεται, ἐπὶ το̂ι ἀλλυσαμέν||οι ε̂μεν, πρίν κ᾽ ἀποδο̂ι τὸ ἐπιβά|λλον. Αἰ δέ κα μὲ ὁμολογίοντ|ι ἀμπὶ τὰν πλεθύν, ε̂ μὲ [κ]ελομέ|[ν]ο αὐτο̂ [λ]ύσαθθαι, τὸν δικασ|τὰν ὀμνύντα κρίνεν πορτὶ τὰ | μολιόμεν[α]...........|........ | .....

VII. [αἴ κ᾽ ὁ δο̂λος] ἐπὶ τὰν ἐλευθέραν ἐλθὸν ὀπυίει, ἐλεύθερ᾽ ε̂μεν τὰ τέκνα. Αἰ δέ κ᾽ | ἁ ἐλευθέρα ἐπὶ τὸν δο̂λον, δο̂λ᾽ ε̂μ|εν τὰ τέκνα.

Αἰ δέ κ᾽ ἐς τᾶς αὐτ||ᾶς ματρὸς ἐλεύθερα καὶ δο̂λα | τέκνα γένεται, ε̂ κ᾽ ἀποθάνει ἁ | μάτερ, αἴ κ᾽ ε̂ι κρέματα, τὸνς ἐλε|υθέρονς ἔκεν. Αἰ δ᾽ ἐλεύθεροι | μὲ ἐκσεῖεν, τὸνς<ς> ἐπιβάλλον||τανς ἀναιλε̂θαι.

A[ἴ] κ' ἐκς ἀγ|ορᾶς πρ[ιά]μενος δôλον μὲ π|εραιόσει τᾶν Ϝεκσέκοντ' ἀμ|ερᾶν, αἴ τινά κα πρόθ' ἀδικέ|κει ε̃ ὕστερον, τôι πεπαμέν||οι ἔνδικον ε̃μεν.

Τὰμ πα|[τ]ροϊ[ô]κον ὀπυίεθαι ἀδελπι|ôι τô πατρὸς τôν ἰόντον τôι πρειγ[ί]στοι. Αἰ δέ κα πλίες πατ ροϊôκοι ἴοντι κ' ἀδελπι[ο]ὶ τô πα||τρός, [τ]ôι ἐπιπρειγίστοι ὀπυί|εθαι. Αἰ δέ κα μὲ ἴοντι ἀδελπιο|ὶ τô πατρός, υἱέεδ δὲ ἐκς ἀδελ|πιôν, ὀπυίεθαι ἰôι τôι [ἐ]ς τô π|ρειγίστο. Αἰ δέ κα πλίες ἴοντ||ι πατροιôκοι κ' υἱέες ἐκς ἀδε|λπιôν, ἄλλοι ὀπυίεθαι τôι ἐπ|ὶ τôι ἐς [τ]ô πρει[γί]στο.

[Μ]ίαν δ' | ἔκεν πατροϊ[ô]κον τὸν ἐπιβάλ|λοντα, πλίαδ δὲ [μ]έ.

Ἆδ δέ κ' ἄν||ορος ε̃ι ὁ ἐπιβάλλον ὀπυίεν ε̃ | ἁ πατροϊôκος, [σ]τέγαν μέν, αἴ | κ' ε̃ι, ἔκεν τὰν πατροϊôκον, τᾶδ | δ' ἐπικαρπίας παντὸς τὰν ἐμ|ίναν ἀπολανκάνεν τὸν ἐπιβ||άλλοντα ὀπυίεν.

Αἰ δέ κ' ἀπό|δρομος ἰὸν ὁ ἐπιβάλλον ὀπυ|ίεν ἐβίον ἐβίονσαν μὲ λε̃ι ὀπ|υίεν, ἐπὶ τᾶι πατροϊόκοι ε̃με|ν τὰ κρέματα πάντα καὶ τὸν κ||αρπόν, πρείν κ' ὀπυίει. Αἰ δέ κα | δρομεὺς ἰὸν ὁ ἐπιβάλλον ἐ|βίονσαν λείονσαν ὀπυίε|θαι μὲ λε̃ι ὀπυίεν, μολε̃ν τὸς | καδεστὰνς τὸς τᾶς πατροϊ||όκο· ὁ δὲ [δ]ικασ[τὰς] δι[κ]αδδέ]|το ὀπυίεν ἐν τοῖ[ς] δ[υ]οῖς με|νσί. Αἰ δέ κα μὲ ὀπυίει, ᾇι ἔγρα|ται, τὰ κρέματα πάντ' ἔκονσα|ν, αἴ κ' ε̃ι ἄλλος, τôι ἐπιβάλλοντ||ι· αἰ δ' ἐπιβάλλον μὲ εἴε, τᾶς | πυλᾶς τôν αἰτιόντον ὅτιμ|ί κα λε̃ι ὀπυίεθαι.

Αἰ δέ κα τô|ι ἐπιβάλλοντι ἐβίονσα μὲ λε̃|ι ὀπυίεθαι, ε̃ ἄνορος ε̃ι
VIII. ὁ ἐπιβ άλ[λ]ον [κα]ὶ μ[ὲ λε̃ι μέν]εν, ἁ πατροϊôκος, στέγαμ μέν, αἴ κ' ε̃ι ἐν πόλι, τὰμ πατροϊôκο|ν ἔκεν κ' ἅ τί κ' ἐνε̃ι ἐν τᾶι στέγ|αι, τôν δ' ἄλλον τὰν ἐμί[ν]αν δ||ιαλακόνσαν ἄλλοι ὀπυίεθ|αι τᾶς πυλᾶς τôν αἰτιόντον | ὅτιμί κα λε̃ι. Ἀποδατε̃θαι δ|ὲ τôν κρεμάτον ἰôι.

Αἰ δὲ μὲ | εἶεν ἐπιβάλλοντες τᾶι π||ατροϊόκοι, ᾇ[ι ἔ]γρατται, τὰ κρ|έματα πάντ' ἔκ[ον]σαν τᾶς πυ|λᾶς ὀπυίεθ[α]ι ὅτιμί κα λε̃ι. | Αἰ δὲ τᾶς πυλ[ᾶ]ς μέτις λε|ίοι ὀ[π]υίεν, τὸς καδεστὰνς || τὸς τᾶς πατροϊόκο Ϝε[ῖ]παι κ|ατὰ [τὰν πυλ]άν, ὅτι οὐ λ[ε̃ι ὀ]πυ|ίεν τις; κ' αἰ μέν τίς [κ' ὀ]πυίει, ἐ|ν ταῖς τριάκοντα ε̃ κα Ϝείπον|τι, αἰ δὲ μ(έ), ἄλλοι ὀπυίεθαι ὅτι||μί κα νύναται.

Αἰ δέ κα πατρὸ|ς δόντος ε̃ ἀδελπιô πατροϊô|κος γένεται, αἰ λείοντος ὀπ|υίεν ο̃ι ἔδοκαν μὲ λείοι ὀπυ|ίεθαι, αἴ κ' ἐστετέκνοται, δια||λακόνσαν τôν κρεμάτον, ᾇι ἔ|γρατται, [ἄλλ]οι ὀπυίεθ[αι τᾶ]ς [π]||υλᾶς. Αἰ δὲ τέκνα μὲ εἴε, πάν[τ'] | ἔκον[σ]αν τôι ἐπιβάλλον[τ]ι ὀπυ|ίεθαι, αἴ κ' ε̃ι, αἰ δὲ μέ, ᾇ[ι] ἔγραττ||αι.

Ἀνὲρ αἰ ἀποθάνοι πατροϊ|όκοι τέκνα καταλιπόν, αἴ κα [λ]ε̃ι, |

ὀπυιέθο τᾶς πυλᾶς ὅτιμί κα ν̣ύναται, ἀνάνκαι δὲ μέ. Αἰ δέ τέ|κνα μὲ καταλίποι ὁ ἀποθανόν, || ὀπυίεθαι τôι ἐπιβάλλοντι, ᾆ|ι ἔγρατται.

Αἰ δ' ὁ ἐπιβάλλον τ|ὰν πατροϊôκον ὀπυίεν μὲ ἐπ|ίδαμος εἴε, ἁ δὲ πατροϊôκος | ὁρίμα εἴε, τôι ἐπιβάλλοντι ὀ||πυίεθαι, ᾆι ἔγρατται.

Πατροϊô|κον δ' ἐ̃μεν ᾆι κα πατὲρ μὲ ἐ̃ι ἒ ἀ|δελπιὸς ἐς τô αὐ|τô| πατρός.

Τôν | δὲ κρεμάτο[ν κα]ρτερὸνς ἐ̃μεν τ|ᾶς Ϝεργα[σ]ία[ς τὸς] πατρόανς, τὰ[ς δ' ἐπικαρπ|ίας δια[λ]α[νκά]ν|εν [τ]ὰν ἐμίναν ᾆς κ' ἄ[ν]ορ[ο]ς ἐ̃ι. | Αἰ δ' ἀν[ό]ροι ἰάτται μὲ εἴε ἐπ|ιβάλλον, τὰν πατροϊôκον καρ|τερὰν ἐ̃μεν τôν τε κρεμάτον κ||αὶ τô καρπô, κ' ᾆς κ' ἄν[ο]ρος ἐ̃ι, τ|ράπεθαι [π]αρ τᾶι ματρί· αἰ δὲ μ|άτερ μὲ εἴε, παρ τοῖς [μ]άτροσι | τράπεθ[αι].

Αἰ δέ τις ὀπυίοι τὰ|ν πατροϊôκον, ἄλλαι δ' [ἔγ]ρατται, || [πεύθεν
IX. ἀν]τὶ κόσμ[ω]ν || τὸνς ἐπιβα[λλόντανς.

Ἀνὲρ αἴ| κ' ἀποθανὸν πα]τροϊôκον κα|ταλίπει, ἒ αὐ[τὰν ἒ πρὸ αὐτᾶς τ|ὸνς πατρόανς ἒ τὸ|νς ματρόαν|ς καταθέμεν [ἒ ἀποδόθαι τôν | κρεμάτον καὶ] δικαίαν ἐ̃μεν τ|ὰν ὀνὰν καὶ τὰν κα[τάθεσιν. Αἰ | δ' ἄλλαι πρί]αιτό τις κρέματα ἒ | κατάθειτο τôν τᾶς πα[τροϊόκο, τ]||ὰ [μ]ὲ[ν κρ]έματα ἐπὶ τᾶι πατροϊόκ|οι ἐ̃μεν, ὁ δ' ἀποδόμενος ἒ κατ|αθὲνς τôι πριαμένοι ἒ καταθε|μένοι, αἴ κα νικαθêι, διπλεῖ κα|ταστασεῖ, κ' αἴ τί κ' ἄλλ' ἄτας ἐ̃ι, τ|ὸ ἁπλόον ἐπικαταστασεῖ, ᾆ|ι [τά]δε τὰ γ[ράμμ]ατ[α ἔγρατται· τ]|ô[ν δ]ὲ πρόθα μ[ὲ ἔν]δικον ἐ̃μεν. | Αἰ δ' ὁ ἀντίμολος ἀπομ[ολ]ίο|ι ἀ[νπ]|ὶ τὸ κρêος, ὅι κ' ἀνπιμολί|οντι, μὲ τᾶς πατροϊόκο [ἐμ]εν, | ὁ δ[ικ]αστὰς ὀμνὺς κρινέτο· αἰ | δὲ νικάσαι μὲ τᾶς πατρ[οϊ]όκ|ο ἐ̃[με]ν, μολêν ὀπê κ' ἐπιβάλλει, ἒ | Ϝεκάστο ἔγρατται.

Αἰ ἀν[δ]εκσ||άμ[ε]νος ἒ νενικαμένο[ς ἒ ἐνκ]|οιοτὰνς ὀπέλον ἒ διαβαλόμε|νος ἒ διαϜειπάμενος ἀπο[θ]ά|νοι, ἒ τούτοι ἄλλος, ἐπιμολ|êν ἰô πρὸ τô ἐνιαυτô· ὁ δὲ δικα||στὰς δικαδδέτο πορτὶ τὰ [ἀ]ποπ|ονιόμενα· αἰ μέν κα νίκας ἐπι|μολêι, ὁ δικαστὰς κ' ὁ μνάμον, | αἴ κα δόει καὶ πολιατεύει, οἱ δὲ μ|αίτυρες οἱ ἐπιβάλλοντες· ἀνδοκ||ᾶ(δ) δὲ κἐνκοιοτᾶν καὶ διαβολᾶς κ|αὶ διρέσιος μαίτυρες οἱ ἐπιβ|άλλοντες ἀποπονιόντον. Ἒ δέ κ' ἀ|ποϜείποντι, δικαδδέτο ὀμόσ|α[ν]τα | αὐτὸν καὶ τὸνς μαιτύρ||ανς νικêν τὸ ἁπλόον.

Υἱὺς α|ἴ κ' ἀνδέκσεται ᾆς κ' ὁ πατὲ(δ) δόει, | αὐτὸν ἀλêθαι καὶ τὰ κρέματα | ἅ τί κα πέπαται.

Αἴ τίς κα πέρα|ι συναλ[λάκ]σει, ἐ ἐς πêρ[α]ν ἐπι||θέντι μὲ ἀποδιδôι, αἰ μέν κ' ἀ ποπονίοντι μαίτυρες ἐ[β]|ίοντ ες τô ἑκατονστα-

τέρο καὶ πλίο|νος τρέες, τô μείονος μέττ' ἐ|ς τὸ δεκαστάτερον δ[ύ]ο, τô μεί||ονος ἕν[ς], δικαδδέτο πορ[τ]ί τὰ | ἀποπο[ν]ιόμενα· αἰ δὲ μαί[τ]υρε||[ς] μὲ [ἀπ]ο[π]ονίοιεν, ἔ κ' ἔ[λ]θει ὁ συ|ναλλάκσα[ν]ς, ὅτερόν κ[α] κέλε[τ]αι ὁ | μενπό[μ]ενος, ἒ ἀπομόσαι ἒ
X. συν |. . . . . ν κρêος |. . . . . ἀ]ποδόν|τανς το . . . . | . . . .

Ματρὶ || δ' υἱὺ[ν ἒ ἄνδρα γυναικὶ δόμεν ἑ]|κατὸν στα[τ]έρα[νς] ἒ μεῖον, π|λῖον δὲ μέ· αἰ δὲ πλῖα δοίε, αἴ | κα λείοντ' οἱ ἐπιβάλλοντες, τ|ὸν ἄργυρον ἀποδόντες τὰ κρ||έματ' ἐκόντον.

Αἰ δέ τις ὀπέ|λον ἄργυρον ἒ ἀταμένος ἒ μ|ολιομένας δίκας δοίε, αἰ | μὲ εἴε τὰ λοιπὰ ἄκσια τᾶς ἄ|τας, μεδὲν ἐς κρέος ἦμεν τὰν || δόσιν.

Ἄντρο[π]ον μὲ ὀνêθα|[ι] κατακείμενον, πρίν κ' ἀλλύσ|εται ὁ καταθένς, μεδ' ἀμπίμο|λον, μεδὲ δέκσαθαι μεδ' ἐπισ|πένσαθαι μεδὲ καταθέθαι· αἰ || δέ τις τούτον τι Fέρκσαι, μεδ|ὲν ἐς κρêος ἦμεν, αἰ ἀποπονίο|ιεν δύο μαίτυρε[ς]. |

Ἄνπανσιν ἦμεν ὀπô κά τιλ λ|êι.

Ἀμπαίνεθαι δὲ κατ' ἀγορὰν || καταFελμένον τôμ πολιατᾶ|ν, ἀπὸ τô λάο ὂ ἀπαγορεύοντι. | Ὁ δ' ἀμπανάμενος δότο τᾶ|ι ἑταιρείαι τᾶι Fᾶι αὐτô ἱαρε|ῖον καὶ πρόκοον Fοίνο. Κ' αἰ || μέν κ' ἀνέλεται πάντα τὰ κρέ|ματα καὶ μὲ συννêι γνέσια τ|έκνα, τέλλεμ μὲν τὰ θίνα καὶ τὰ ἀντρόπινα τὰ τô ἀνπαναμέ|νο κ' ἀναιλêθαι, ᾶἵπερ τοῖς γ||νεσίοις ἔγρατται,· αἰ [δ]έ κα μὲ | λêι τέλλεν ᾶἵ ἔγρατται, τὰ κ[ρ]έ|ματα τὸνς ἐπιβαλλόντανς ἔκε|ν. Αἰ δέ κ' êι γνέσ[ι]α τέκνα τôι ἀν|παναμένοι, πεδὰ μὲν τôν ἐρσ||ένον τὸν ἀμπαντόν, ᾶἵπερ αἱ θ|έ[λε]ιαι ἀπὸ τôν ἀδελπιôν λανκά|νοντι, αἰ
XI. δέ κ' ἔρσενες μὲ ἴον|τι, θέλειαι δέ, [F]ισFόμοιρον ἦ||[μεν] τὸν ἀνπαντόν· καὶ μὲ ἐπάνανκον ἦμεν τέλλεν [τὰ τ]ô ἀν]παναμένο καὶ τὰ κρέμα|τα ἀναιλîθαι, ἅ τί κα κατα[λίπ]|ει ὁ ἀν]πανάμενος· πλίυι δὲ τὸν | ἀνπαντὸμ μὲ ἐπικορêν.

[Αἰ δ' | ἀπο]θάνοι ὁ ἀνπαντὸς γνέσια | τέκνα μὲ καταλιπόν, παρ τὸ[νς τ|ô ἀν]παναμένο ἐπιβαλλόνταν||ς ἀνκορêν τὰ κρέματα.

Αἰ δ[έ κα | λêι] ὁ ἀνπανάμενος ἀποFειπ|άθθο κατ' ἀγορὰν ἀπὸ τô λά[ο ὂ | ἀπα]γορεύοντι, καταFελμέν|ον τôν πολιατᾶν. Ἀνθέμε[ν δε -- σ]τατέρανς ἐδ δικαστ|έριον, ὁ δὲ μνάμον ὁ τô κσεν|ίο ἀποδότο τôι ἀπορρεθέντι. | Γυνὰ δὲ μὲ ἀμπαινέθθο μεδ' | ἄνεβος. Κρêθαι δὲ τοῖδδε, ᾶ||ι τάδε τὰ γράμματ' ἔγραψε, | τôν δὲ πρόθθα, ὀπᾶι τις ἔκει, ἒ ἀ|μπαντῦι ἒ πὰρ ἀμπαντô, μὲ ἔτ' ἔ|νδικον ἦμεν. |

Ἄντροπον ὅς κ' ἄγει πρὸ δίκας, || αἰεὶ ἐπιδέκεθαι. | Τὸν

δικαστάν, ὅ τι μὲν κατὰ | μαιτύρανς ἔγρατται δικάδδ|εν ἐ ἀπόμοτον, δικάδδεν ᾇι ἒ γρατται τὸν δ᾽ ἄλλον ὀμνύντ||α κρίνεν πορτὶ τὰ μολιόμεν|α. Αἴ κ᾽ ἀποθάνει ἄργυρον | ὀπέλον ἒ νενικαμένος, αἰ μέ|ν κα λείοντι, οἷς κ᾽ ἐπιβάλλει | ἀναιλε̂θαι τὰ κρέματα, τὰν ἄ||ταν ὑπερκατιστάμεν καὶ τὸ | ἀργύριον οἷς κ᾽ ὀπέλει, ἐκόντ|ον τὰ κρέματα. Αἰ δέ κα μὲ λεί|οντι, τὰ μὲν κρέματα ἐπὶ τοῖ|ς νικάσανσι ἐ̑μεν ἒ οἷς κ᾽ ὀ||πέλει τὸ ἀργύριον, ἄλλαν δὲ | μεδεμίαν ἄταν ἐ̑μεν τοῖ|ς ἐπιβάλλονσι. Ἀ[λ]ε̂θαι δὲ ὑ|πὲρ μ[ὲ]ν τô [πα]τρὸς τὰ πατρό|ϊα, ὑπὲ(δ) δὲ τᾶς ματρὸς τὰ μα|τρόϊα.

Γυνὰ ἀνδρὸς ἅ κα κρίνεται, | ὁ δικαστὰς ὅρκον αἴ κα δικάκ|σει, ἐν ταῖς Ϝίκατι ἁμέραις ἀ|πομοσάτο, παριόντος τô δικα||στᾶ, ὅ τί κ᾽ ἐπικαλε̂ι. ΠροϜ[ε]ιπάτ|ο δὲ ὁ ἄρκον τᾶ(δ) δίκας τᾶι γυνα|ικὶ

XII. καὶ τôι δικα|σ τᾶι καὶ |τ ôι μ[νά]μονι προτέταρτον ἀντὶ μ |αιτύρων -------------------] Ματρὶ υἱυὶς ἒ ἀ[ν]ὲρ γυναικὶ | κρέματα αἰ ἔδοκε, ᾇι ἔγρατ|το πρὸ τôνδε τôν γραμμάτον, || μὲ ἔνδικον ἐ̑μεν, τὸ δ᾽ ὔστε|ρον διδόμεν ᾇι ἔγρατται. ||

Ταῖς πατροϊόκοις, αἴ κα μὲ | ἴοντι ὀρπανοδικασταί, ᾇ|ς κ᾽ ἄνοροι ἴοντι, κρε̂θαι κατὰ || τὰ ἐγραμμένα. Ὀπε̂ δέ κ᾽ ἁ | πατρ[οϊ]ô-κος, μὲ ἰόντος ἐπι||βάλλοντος μεδ᾽ ὀρπανοδικ|αστᾶν, παρ τᾶι ματρὶ τράπε|ται, τὸν πάτροα καὶ τὸμ μάτ||ροα τὸνς ἐγραμμένονς τ|ὰ κρέματα καὶ τὰν ἐπικαρπί|αν ἀρτύεν ὀπᾶι κα (νύ)νανται κά|λλιστα πρίν κ᾽ ὀπυίεται. Ὀπυί|εθαι δὲ δυοδεκαϜέτια ἒ πρεί||γονα.

I. L. 28 νίκεν Baunack; l. 36 τριτ[(τ)]ά Baunack; l. 39 ὄκα Fabricius, Dareste, Comparetti; l. 50, le marbre porte κατισταςει que la plupart des éditeurs corrigent en κατ|α|στασεῖ; à la fin de la ligne 53, le marbre porte Ʃ...ΠΑΝƎ; le Π n'est pas tout à fait sûr, mais plus probable que O. Entre lui et le Σ, la lacune peut être de deux ou de trois lettres. La lacune après ΠΑ l. 53 étant de plus d'une lettre, et la trace qui subsiste devant Σ l. 54 provenant plutôt d'un E que d'un A, Comparetti condamne la restitution ordinaire ἀπ' [ᾶ]ς | [ἁμέρα]ς, et il lit ἀπ' [ᾶς] σ|[ωμελ](ὲ)ς (?) ἄγαγε; l. 55 νενικαμένον Comparetti, Dareste; νενικαμένω Bücheler-Zitelmann et la plupart des éditeurs.

II. L. 7 διπλῆι, ici et toujours Bücheler-Zitelmann et d'autres éditeurs; l. 14 [ἕν' ὀ]δελόν Fabricius; l. 17 ἐπιπηρηταίοι πενακεύοντος Comparetti; ll. 30-31 ΑΛΛΥΕΟΘΑΙ; ll. 40-41 ΤΟΝΕΟ|ΑΡ.

III. L. 13 συνεσ(σ)άδδηι Baunack; l. 29, au début, ΝΤΑΚΕ.

IV. L. 4 ὀπυίοι τῶ πρώτω Fabricius, Bücheler-Zitelmann; l. 15 μ|έ[τ]ι[ς ἐ̑]ι στέγα Baunack, lecture qui ne correspond pas aux traces restées visibles; l. 16 ἐπελεύσηι ἢ αὐτὸν μὴ ορειαι, αἰ Fabricius; ἐπελεύσει, ἢ αὐτὸν μὴ ὀρείαι, αἰ Bücheler-Zitelmann. Il vaut mieux voir, avec Baunack, dans αι une simple dittographie; l. 43-44, la pierre porte ΤΑ(ΝΔ)ΑΤΕΘ.ΑΙ. — Ϝεκά[σ]τα[ν] θ[υγ]ατέ[ρα]. αἰ δὲ Fabricius; Ϝεκάσταν θ[υ|γ]ατέ[ρα]. J. et B. Baunack qui continuent en suppléant : αἰ δὲ καὶ τὰ ματρ[ό]ϊα ἒ | κ᾽ἀποθά[νε]ι, ᾇπε[ρ] τὰ [πατρόϊ᾽]. Notre texte est celui de Comparetti.

V. L. 4-5 αἰ (vel αἶ) Bücheler-Zitelmann; αἰ Gemoll; l. 5 Αἰθαλεὺς (σ)ταρτός Baunack; l. 18 la plupart des éditeurs corrigent en ἀδελπιαὶ; l. 42 nous donnons la restitution de Comparetti; δατέ[θαι τινές], τ[ὸν δικαστ]ὰν Bücheler-Zitelmann et Baunack.

VI. L. 1 θυγατρὶ (δ)ὲ διδοῖ Fabricius; l. 16 la première moitié seule de la ligne est gravée; l. 23 ἀτάσηι ici et ailleurs Fabricius, Lewy, Blass; ll. 45-46 ΚΑΡΤΕΡΟΝ|ΝΕΜΕΝ; ll. 46-47 ἐδδυσ[μενίων| περά[σηι? Bücheler-Zitelmann; ἐδ δυ[σμενίανς] περα[ιοθεῖ] Baunack; ἐδδυ(σ)........ πηρα[τὰς] (κ') Comparetti; ἐδ δυ(σ)[μενίανς] περα[θῆι κ'] Dareste, Haussoullier et Reinach; 55-56 après μ]ωλιό(μ)ε[να, Comparetti lit encore sur la pierre τ]ῶ ἐλευθέρω, τὸν | (δὲ... La ligne 56 et le commencement de 57 sont illisibles. Avant ἐπὶ τὰν ἐλευθέραν, on a suppléé : Αἰ δέ κ' ὁ ἐλεύθερος Fabricius; ὁ ἐκεῖθ' ἐρωτῶν Bücheler-Zitelmann (en note); ὁ ἐκεῖθ' ἐρο[ῖ|ον (?) ἐ Baunack; nous adoptons la restitution de Comparetti, suivi par Dareste, Haussoullier et Reinach.

VII. Ll. 45-46 δικ[ακσά]τω Fabricius, Baunack; l. 55 [κα]ὶ μ[ὲ λ^ι μέν]εν Bücheler-Zitelmann, Baunack; [κα]ὶ μ[ὴ λῆι ὀπυί]εν ἤ Fabricius; [ὠρ]ίμ[α] ὧ ἦ[ν](υσ)εν? Comparetti; d'après celui-ci l'Ǝ O sur le marbre sont sûrs; les dernières traces devant εν peuvent être deux traits d'un ν ou encore le second trait d'un υ suivi de σ.

VIII. L. 4, la pierre porte ΕΜΙΣΑΝ; ll. 9-10 ΤΑΙΠΑΙΠ|ΑΤΡΟΙΟΚΟΙ; l. 17 καὶ μέν τις [ὀ]πυίει Fabricius, Bücheler-Zitelmann, mais la lacune est de deux lettres; l. 18 ἤ κα Comparetti, Bücheler-Zitelmann, Dareste, Haussoullier et Reinach; ἦ κα les autres éditeurs; l. 41 αἴ κα Fabricius, B Z., Baunack; l. 55, on peut lire sur la première partie de la ligne ιευοε ou πευοε, la quatrième lettre pouvant être θ. Les traces de la fin donnent ν.μσοκιτ ou bien ν.μμοκιτ. La restitution est de Comparetti.

IX. Ll. 1-6 notre texte est celui de Comparetti; Dareste, Haussoullier et Reinach restituent πατὴρ au lieu de ἀνὴρ. — τὸνς ἐπιβα[λλόντανς, αἴ κ' ἀποθανὼν τις πα]τρωιῶκον καταλίπηι ἤ αὐ[τὸνς τὰ κρήματα ἀρτύεν ἢ πὰρ τὸ]νς ματρώανς καταθέμεν, [αἰ δ' ἄλλωι ἀπόδοιντο ἢ καταθεῖεν, μὴ] δικαίαν Fabricius. — τὸνς ἐπιβα[λλόντανς ἔκεν τὰ κ]ρέματα]. [Αἴ κα πα]τροϊὸκον κα]ταλίπει, ἐ αὐ[τοὶ κρέματ' ἔκοντι, | τὸς πατρόανς καὶ τὸ]νς ματρόαν|ς καταθέμεν [καὶ ἀποδόθαι τὸν || Ϝὸν αὐτὸν καὶ] δικαίαν Baunack; l. 24 Ϝέκαστο Fabricius, Baunack; l. 36 δι<α>ρήσιος Comparetti; ll. 38-39 la pierre porte ΟΜΟΣΑΣΤΑ; l. 42 ἀγέθαι Bücheler-Zitelmann, Baunack; l. 48 μέττες Baunack; l. 50, la pierre porte ΕΝΑ; l. 52 ἐ[πι]θῆι Bücheler-Zitelmann; l. 53 la restitution est de Comparetti.

X. Il ne reste rien des dix premières lignes; ll. 10-14 — [στατέρο]ν || κρ^ος. [Τὸς δ' ἐπ]ιβα[λλόντανς, | αἰ ὁ ἀνὲρ π]λῖα δ[οίε, ἀ]ποδόν[τανς τὸ |ἀργύρ]ιον [ἔκεν τὰ κρ|έματα, αἴ κ]α λεῖ[οντι]· ματρὶ | δ' Baunack qui placent ici le petit fragment donné par Comparetti sous le n° 161; l. 15 ματρὶ | δ' υἰὺς [κρέματ' αἴ] κα [λ^ι δόμεν, ἐ]κατὸν Baunack; l. 26 les lettres λλ et σ sont très effacées; πρὶν καττύνηται Fabricius; πρίν κ' ἀρτύ(σ)ηται Bücheler-Zitelmann; l. 32 ΜΑΙΤΥΡΕΝ; l. 33 ὦ ποκά Comparetti.

XI. L. 4 ἀναιλ<ή>θαι Comparetti, Baunack; ll. 14-15 ἀνθέμε[ν δὲ δέκα σ]ατ. Lewy; ἀνθέμε[ν δέ|κ(α) [σ]ατ. Comparetti; ἀνθέμε[ν <δὲ> δέ|κ(α) [σ]τατ.

Dareste, Haussoullier et Reinach; l. 16 ὁ τῶ κσενίω Comparetti, Dareste, Haussoullier et Reinach; π[ρ]ὸ κσενίω les autres éditeurs. Les deux premières lettres sont fort effacées, mais la première paraît bien être o; l. 40 ΑΡΑΥΡΙΟΝ; l. 42 α[ἰλ]ῆθαι Fabricius; ἀ[γ]έθαι B.-Z. Baunack; l. 51 ὁ ἄρκων τᾶ<δ> δίκας Comparetti; [ὁ κατ]άρκων τᾶ(δ) δίκας Fabricius; [τὸ ὑπ]άρκον τᾶδίκας Bücheler-Zitelmann; [δ' ὁ ὑπ]άρκον τᾶδ (δ)ίκας Baunack; l. 52 ΔΙΚΑΝΤΑΙ.

XII. Les 16 premières lignes manquent; l. 25 ὅπη[ι] δέ κα Fabricius; ὧπε[δ] (δ)έ κ' ἁ Comparetti; l. 32 ΟΠΑΙΚΑΝΑΝΤΑΙ.

1334. Élide. **Loi d'amnistie.** (2e moitié du ive s. av. J.-C.)

Plaque de bronze intacte trouvée à Olympie, actuellement au musée de Vienne. Στοιχηδόν. — Szanto, *Jahreshefte d. œsterr. arch. Inst.*, I (1898), p. 197 s. (trad.) — Meister, *Berichte d. sächs. Akad.*, 1898, p. 218 s. (trad.) — Cf. Wilhelm, *Jahresh. d. œsterr. arch. Inst.*, I (1898), Beiblatt, p. 195 s. — Danielsson, *Eranos*, 1898, p. 129 s. — Bréal, *Rev. des Ét. gr.*, XII (1899), p. 116. — J. Schmidt, *Sitzungsb. d. Berl. Akad.*, 1899, p. 302 s. — Keil, *Gœtt. Nachr.*, 1899, p. 136 s.

Θεός. Τύχα. Ταῖρ δὲ γενεαῖρ μὰ φυγαδείημ μαδὲ κ|ατ' ὁποῖον τρόπον, μάτε ἐρσεναιτέραν μάτε θηλυτ|έραν, μάτε τὰ χρήματα δαμοσιῶμεν· αἰ δέ τιρ φυγαδ|είοι αἴ τε τὰ χρήματα δαμοσιοία, φευγέτω πὸτ τῶ Δ|ιὸρ τὠλυμπίω αἴματορ, καὶ κατιαραίων ὁ δηλομὴρ | ἀνάατορ ἤστω. Ἐξήστω δὲ καί κα φυγαδεύαντι τοῖ δ|ηλομένοι νοστίττην καὶ ἀττάμιον ἦμεν, ὅσσα κα ὕ|σταριν γένωνται τῶν περὶ Πύρρωνα δαμιοργῶν· το|ῖρ δὲ ἐπ' ἅ(σ)σιστα μὰ ἀποδόσσαι μάτε ἐκπέμψαι τὰ χρ|ήματα τοῖρ φυγάδεσσι· αἰ δέ τι ταύτων παρ τὸ γράμ|μα ποιέοι, ἀποτινέτω διπλάσιον τῶ κα ἐμπέμπα κα|ὶ τῶ κα ἀποδῶται. Αἰ δέ τιρ ἀδεαλτώhαιε τά(ν) στάλαν, | ὡρ ἀγαλματοφώραν ἐόντα πάσχην. —

1335. Argésiné (Amorgos). **Décret confirmant les décisions prises par des** διαλλακταί. (1re moitié du ive s. av. J.-C.)

Plaque de marbre brisée en trois morceaux trouvée à Kastri. — Radet, *Bull. de Corr. Hell.*, XII (1888), p. 230 s. (trad.) — Cf. Szanto, *Athen. Mitth.*, XVI (1891), p. 39 s. — Nous avons supprimé les débris très mutilés du début.

- - - - - | Ἔδοξε [τῆι βουλῆι καὶ τῶι δήμωι· - - -] | ἐπεστ[άτει· - μηδὲ ὅσαι δίκα[ι] [δι]εγράφησαν ἐπὶ τὸς [εἰσ]αγωγέας τὸς ἀμ φὶ Εὐρύδικον ταύτας μὴ ἐναι δικάσασθαι, | μήτε αὐτὸ, μήτε ἐν ἐκκλήτωι μηδαμο[ῦ]· | ἐὰμ μὴ οἱ διαλλακταὶ γράψαντες καταλεί|πωσιν οἷς δεῖ τὰς δίκας ἐπὶ τὸ ἀστικὸ δικαστ[η]|ρίο γενέσθαι, ὅσοι δ' ἂμ μὴ ἐκτίνωσιν καθ' [ἃ] | οἱ διαλλακταὶ ἔταξαν ἢ πείσαντες τὸς κα|ταδι-

κασαμένος, ἢ ὑπογραφὴμ ποιῶντ|αι πρὸς τὸς χρεωφύλακας, ἐ̄ναι τὰς δίκ||[α]ς κατὰ τῶμ μὴ ἐκτινόντων μηδὲ τὴν ¦ [ὑ]πογραφὴμ ποιομένων. Μηδὲ πρύτανι[ς] | προτιθέτω μηδὲ ἐπιψηφιζέτω, μηδὲ ἐσα[γ]¦|ωγεὺς ἐσαγέτω. Ἐὰν δὲ ἐσάγηι παρὰ τὰ γ[ε]|γραμμένα ἢ ποιήσηι, ὀφελέτω τρισχιλίας | δραχμὰς τῆι Ἥρηι καὶ ἄτιμος ἔστω· καὶ ὁ ἐ[σ]|αγωγεὺς ἑκάτερος ὀφελέτω τρισχιλίας ¦ δραχμὰς καὶ ἄτιμος ἔστω· καὶ ὑπόδικος || καθ' ὃ ἂν ἐσαγάγηι δίκην παρὰ τόδε ψήφισ|μα καὶ τὴμ προθεσμίην. — | Τεισόμενος εἶπε· Τὰ μὲν ἄλλα τὴν τῆς [β]ολῆς, | τὰς δὲ δίκας τὰς διαγρ[αφείσας ἐν τοῖς] λευκ|ώμασιν ἐξε̂ναι αὐτὸ δι[κάσασθαι ἐπὶ τὸ] ἀστικὸ || δικαστηρίο μέχρι ἑκατ[ὸν δραχμῶν - - - - ημαγ¦. . γε - - μένωι ἐκκλητω - - - - ιακ | - - -

JUGEMENTS

1336-38. Épidaure. Amendes infligées par des agonothètes.

1336. (iii^e s. av. J.-C.) — Stèle trouvée dans le temple d'Asclépios. — Cavvadias, *Fouilles d'Épidaure*, I, 237. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Grecques*, XX, A (I, p. 494).

Ἐπὶ ἱαρεὺς Θιοκύδευς, μηνὸς Ἀπελλαίου. | Ὀφείλει τῶι θεῶι ὁ ἐργώνας τᾶς ὕσπλα|κος Φίλων Κορίνθιος τὰς ζημίας ἅς ἐ|ζαμίωσε αὐτὸν ὁ ἀγωνοθέτας τοῦ γυ||μνικοῦ Τρίτυλλος καὶ οἱ ἑλλανοδίκαι καὶ | ἐπέκρινε αὐτὸν παρεόντα ἁ βουλὰ δ[ι]|καίως ἐζαμιῶσθαι δραχμαῖς ἀλεξαν|δρείαις πεντακοσίαις· τούτου ἀνθυφαι|ρεθέντος τοῦ μισθοῦ δραχμᾶν διακοσί||αν, τὸ λοιπὸν σὺν ἡμιολίωι ὀφείλει, ἐ|πεὶ οὐκ ἀπελύσατο κατὰ τὸν νόμον, ἀλε|ξανδρείας ΗΗΗΗΓ, καὶ ὁ ἔγγυος Νίκων | τραπεζίτας Κορίνθιος.

1337. (iii^e s. av. J.-C.) — Sur la même stèle que le précédent. — Cavvadias, *Fouilles d'Épidaure*, I, 238. — Dareste, Haussoullier, Reinach, *op. cit.*, XX, B (I, p. 495). — Cf. Keil, *Athen. Mitth.*, XX (1895), p. 49.

Ἐπὶ ἀγωνοθέτα τῶν Ἀσκλαπιείων Κλεαιχμίδα τοῦ | Ἀριστοκλέος. Κατάδικοι οἱ γενόμενοι τῶν ἀθλη|τᾶν διὰ τὸ φθείρειν τὸν ἀγῶνα ἕκαστον στατῆρ [σ]ι χιλίοις· Ταυρίδη[ς] Τελεσίου Σολεύς, ἀνὴρ στα||διοδρόμος· Φίλιστος Καλλισθένους Ἀργεῖος ἀπ' Ἀ|χαΐας, ἀνὴρ πένταθ[λ]ος· Σίμακος Φαλακρίωνος Ἠπει|ρώτης ἀπὸ Θεσπρωτῶν, ἀνὴρ παγκρατιάστής.

1338. (i^er s. av. J.-C.) — Sur la même stèle. — Cavvadias, *op. cit.*, I, 239. — Dareste, Haussoullier, Reinach, *op. cit.*, XX, C (I, p. 495 s.).

Ἐπὶ ἀγωνοθέτα τῶν Ἀσκλαπιείων καὶ Ἀπολλωνίων Σωστράτου τοῦ Πατρο|κλείδα. Κατάδικοι οἱ γενόμενοι τῶν τεχνιτᾶν | διὰ τὸ μὴ ἀγωνίξασθαι κεκομισμένοι τὸν μισθόν· |-----||-----|-- Κωμ[ω]ιδὸς Διονύσιος Διονυσίου Ῥόδιος μνᾶν | τεσσάρων. —

1339. Dymé [Achaïe]. **Sentence de mort portée contre des faux monnayeurs.** (IIe s. av. J.-C.)

Pierre servant de marche d'escalier dans une maison de Kato-Achaïa. — Martha, *Bull. de Corr. Hell.*, II (1878), p. 98 s. — Weil, *Zeitschr. f. Numism.*, IX, p. 234 s. — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1613. — Cf. Dubois, *Ligues Étolienne et Achéenne*, p. 234. — Nous avons supprimé à la fin le début très mutilé d'un autre texte.

Ἐπὶ θεο]κόλου Φιλοκλέος· | [γραμ]ματιστᾶ Δαμοκρί|[του, βουλ]άρχου Κλέωνος. | [Τούσδε] ἁ πόλις κατέκριν|[ε θανάτ]ου, ὅτι ἱεροφώρεον | [καὶ νό]μισμα ἔκοπτον χάλ||κεον]· Θραικίωνα εἴτε Ἀντι|[όχωι] ὄνομα αὐτῶι ἐστι, | [Κρά]τιν τὸν χρυσοχόον || [Κυλλ]άνιον ἢ εἰ Πανταλέ|[οντ]ι ἢ εἴ τι ἄλλο ὄνομα, | [Μ]οσχόλαον Μοσχολάου.

1340. Calymna. **Jugement rendu par Cnide en faveur de Calymna.** (IIe s. av. J.-C.)

Stèle de marbre blanc inscrite des deux côtés. Brisée en haut. Trouvée dans le temple d'Apollon, actuellement au British Museum. — Newton, *Greek Inscr. in the Br. Mus.*, 299. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Grecques*, X (I, p. 158 et p. 503 s.). — Müllensiefen-Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 3591. — Cf. Dareste, *Bull. de Corr. Hell.*, X (1886), p. 235 (trad.). — Sonne, *De arbitris externis*, Gœttingue, 1888, p. 49 s. — Bérard, *De arbitrio* etc., p. 66 s.

A. ---- ο]ὐδὲ τὸ ἐπικαλε[ύμενον ---- οὐ|δ]ὲ ἔλασσον τούτου. Ἐξορκώ[ντω δὲ τοὶ στραταγοὶ τοὺ]|ς δικαστὰς τοὺς δικάζοντας [----, ὁ δὲ ὅρκος ἔστω ὅδ]|ε· Ναὶ τὸν Δία καὶ τὸν Ἀπόλλω τὸν Λύκ[ιον καὶ τὰν Γᾶν δικασσέω περὶ] || ὧν τοὶ ἀντίδικοι ἀντώμοσαν κατὰ γ[νώμαν τὰν δικαιοτάτα]|ν, καὶ οὐ δικασσέω κατὰ μάρτυρα εἴ κα μὴ [δοκῆι ἀλαθέα μαρτ]|υρεῖν· οὐδὲ δῶρα ἔλαβον τᾶς δίκας ταύτας ἕ[νεκεν | ο]ὔτε αὐτὸς ἐγὼ οὔτε ἄλ(λ)ος οὔτε ἄλλα ἐμὶ[ν οὐ μαχανᾶι οὐδ]|εμιᾶι· εὐορκεῦντι μέμ μοι εὖ εἶμεν, ἐπιορκεῦντ[ι δὲ τὰ ἐναντία]. || Τὰ δὲ ψαφίσματα καὶ τὰς προκλήσις καὶ εἴ τί κα ἄλλο δ[έον ἐγ δα]|μοσίου φέρηται, τιθέσθων ἐπὶ τὸ δικαστήριον τοὶ ἀ[ντίδικοι ἑκ]|άτεροι ἐσφραγισμένα τᾶι δαμοσίαι σφραγῖδι πόλιος ἑκα[τέρας], | καθ' ἅ κα ἑκατέρα ἁ πόλις ψαφίξηται, καὶ παραδόντω τοῖς στρατ|αγοῖς, τοὶ δὲ στραταγοὶ λύσαντες ἐγδιδόντω ἐς τὸ δικαστήριο||ν πάντα τὰ γράμματα ἀμφοτέροις τοῖς ἀν[τ]ιδίκοις, τιθέσθων δὲ κα[ὶ] | τὰς μαρτυρίας ἑκάτεροι πρὶν οὗ λέγεσθαι τὰν δίκαν. Λεγέσθω δὲ | τᾶς δίκας ὁ μὲν πρᾶτος λόγος ἑκατέροις ποτὶ χόας δέκα ὀκτώ, ὁ δὲ | δεύτερος ποτὶ χόας δέκα, συναγόρους δὲ ἐξέστω ἑκατέροις | παρέχεσθαι τέτορας, ἐξέστω δὲ καὶ μαρτυρεῖν τοῖς συναγόροις. || Τὰ δὲ ψαφί-

σματα καὶ τὰς προκλήσις καὶ τὰν γραφὰν τᾶς δίκας καὶ εἴ τί κ|α ἄλλο ἐγ δαμοσίου φέρηται ἀναγινωσκέτω ὁ γραμματεὺς ὅν κα ἑ|κάτεροι παρέχωνται καὶ τὰς μαρτυρίας ἄνευ ὕδατος. Ὁ δὲ μάρτ|υρ, ὁ μὲν δυνατὸς ἐὼν παρεῖμεν, μαρτυρείτω παρεὼν ἐπὶ τοῦ δικα|στηρίου, τοὶ δὲ ἀδύν[α]τοι τῶμ μαρτύρων παραγενέσθαι ἐπὶ τὸ δικ||αστήριον ἐγμαρτυρησάντω ἐπὶ τῶν προστατᾶν ἐν ἑκατέρα[ι] | τᾶι πόλι τετάρται ἐξ ἰκάδος μηνὸς Βατρομίου ὃν Καλύμνιοι ἄγοντ[ι], | Κῶιοι δὲ Καφίσιον, παρεύντων τῶν ἀντιδίκων, εἴ κα χρείζωντι παρῆ|μεν, τοὶ δὲ μάρτυρες π[ο]τομνύντω τὸν νόμιμον ὅρκον ἐπὶ τὰν μ|αρτυρίαν ἀλαθέα μαρτυρεῖν καὶ μὴ δυνατοὶ ἦμεν παραγενέσθαι ἐπὶ [τὸ] || δικαστήριον, τοὶ δὲ προστάται τὰς μαρτυ[ρία]ς τὰς ἐγμαρτυρηθείσα|ς ἐπ᾽ αὐτῶν ἐπισαμαινέσθω τᾶι δαμοσί[αι σφρα]γῖδι, παρασαμαινέσθω δὲ | καὶ τῶν ἀντιδίκων ὁ χρείζων· ἀντίγραφα [δ]ὲ διδόντω τοὶ προστάται τ|αύταν τᾶν μαρτυριᾶν παραχρῆμα τοῖς ἀντιδίκοις, ἀποστειλάντω δὲ | τοὶ προστάται τᾶμ [μ]ὲν ἐν Κῶι μαρτυρηθεισᾶν μαρτυριᾶν πασᾶν ἀν||[τί]γραφα τὰ μὲν ἐσ[φρ]αγισμένα τᾶι δαμοσίαι σφραγῖδι, τὰ δὲ ἀσφράγισ|[τα] ἐπὶ τοὺς προσ[τ]άτας τοὺς ἐν Καλύμναι ἐν ἁμέραις ἴκατι ἀφ᾽ οὗ κα ἐγμαρ|[τυρ]ηθῆι, ἀποστειλάντω δὲ καὶ τοὶ προστάται τοὶ ἐν Καλύμναι τᾶν μ[αρ|τυρ]ιᾶν τᾶν ἐγμαρτυρηθε[ι]σᾶν ἐφ᾽ αὐτοῖς ἀντίγραφα πασᾶν, τὰ μὲν ἐσφρ[α]γισμένα τᾶι δαμοσίαι σφραγῖδι, τὰ δὲ ἀσφ(ρ)άγιστα ποτὶ τοὺς προστά[τ]|ας τοὺς ἐν Κῶι ἐν ἁμέραις ἴκατι ἀφ᾽ οὗ κα ἐγμαρτυρηθῆι, καὶ τὰ ἄλλα [πάντα] | ποιούντω τοὶ προστάται περὶ τᾶν ἐγμαρτυριᾶν καθάπερ καὶ τοὺς ἐ|ν Κῶι προστάτας γέγραπται ποιεῖν· τοῖς δὲ παραγενομένοις Καλυμ|νίων εἰς Κῶν ἐπὶ τὰν ἐπάκουσιν τᾶν μαρτυριᾶν ἀσ[φάλειαν δότ]|ω ἐν Κῶι Φιλῖνος. Διδόντω δὲ καὶ ἀνάκρισιν τοὶ [στραταγοὶ τῶν μαρ]||τύρων ἑκατέροις κ[α]θ᾽ ἕνα μετὰ τοὺς πράτους [λόγους τᾶς δίκας], | ἀνακρινάντω δὲ καὶ το[ὺ]ς μάρτυρας ἑκάτεροι ὅ[σα τᾶς δίκας ἱ]|κνεῖται, ἄλλο δὲ μηδέν, καὶ τὸ ἐρωταθὲν ὑπὸ [τῶν ἀντιδίκων δ|ι]καζόντω τοὺς ἀντιδίκους τοὶ στραταγ[οί· εἰ δέ κα μὴ ἱκνῆται τὸ ἐ| ρωτώμενον, ἐπερωτῆι δὲ ὑπὲρ αὐτοῦ, τ[οῦ λόγου ἐκκλαιέσθω. Εἰ δέ κα τοὶ] || λόγοι μὴ συντελέωνται παρ᾽ ἀνφοτέρ[ων ποτὶ τὰν τήρησιν τοῦ ὕδατος, | λ]εγόντω ἐσόκα τὸ ὕδωρ ἐ[γ]ρυᾶι, συντελε[σθέντων δὲ τῶν λόγ]|ων διδόντω τοὶ στρατα[γοὶ] τὰς ψάφου[ς αὐτίκα μάλα].

B. ----σιος πο|---- Ἀριστόδαμον Ἀγ|[λαοστράτου -- τὰ Διαπόρα π]αιδία ποτὶ τοὺς γεγ.|----ο παρὰ τοὺς Κνιδίων στρ[ατ]|αγούς --] ἐπὶ δαμιοργοῦ Ἀλκιμάχου ἀργυρί[ου | ----] ἁμῖν ἀφαιρεθέντος ἀπὸ τοῦ χρέως τοῦ Παυσ[ιμάχου καὶ Ἱ]πποκρά-

τευς, τᾶς τε ἀφέσιος τοῦ ταλάντου ὅ φαν[τι] ἀφεῖσθαι Καλύμνιοι ὑπὸ Παυσιμάχου καὶ Κλευμήδευς καὶ τ|ᾶν φιαλᾶν καὶ τῶν ἀλσέων καὶ τᾶν πέμπταν ἀφαιρεθεισᾶ|ν τᾶν ἀποδόσιων ἅς φαντι ἀποδεδώκεν Καλύμνιοι Παυσιμ|άχωι καὶ Κλευμήδει, καθ' ὁμολογίαν ἅμ φαντι ποιήσασθαι | Καλύμνιοι ποτὶ Παυσίμαχον καὶ Κλευμήδη, περὶ ὧν πάντων | ἀμφισβατεῦντι αὐτοῖς τοὶ Κλευμήδευς κλαρονόμοι, τού|των πάντων ἀφαιρεθέντος τοῦ μέρευς ὃ εὑρίσκομες ἐ||πιπῖπτον ἐπὶ τὸ χρέος τὸ Ἱπποκράτει ὀφειλόμενον, ἀφαι|ρεθέντος δὲ καὶ τούτου π[λ]έονος ἀργυρίου ὅ φαντι Κα[λ]ύμ|νιοι ἀποδεδώκεν Κλευμήδηι, καὶ τᾶν ἄλλαν ἀποδόσιων ἀφ|αιρεθεισᾶν πασᾶν, ἃς ἐν ταῖ ἀποκρίσει ἂν ἔδωκε ὁ δᾶμ|ος ὁ Κώιων τῶι Καλυμνίων δάμωι, ἂν ἔλαβον ἄγγελοι παρ||αγενόμενοι ἐς Κῶν, Ἐξάκεστος, Χαρικλείδας, Ἀρατό|φαντος, Ἀρατίδας, Εὐξίφαντος, γράψαντες ἀνηνίκα|μες ἔχοντας τὸς Ἱπποκράτευς κλαρονόμους ἐς τ|ὸ χρέος ὃ ὤφειλον Καλύμνιοι Ἱπποκράτει ὧι ἄρχει Καφίσ|ιος ἐπὶ Ἑρμώνακτος, ἀπαιτεύντων δὲ ἁμῶν τὰ ὑ||πόλοιπα τῶν χρημάτων τούτων ἃ γίνεται σὺν τ[ό]|κωι, τὰ μέρη τὰ ἅμα οὐκ ἀποδίδοντι Καλύμνιοι φά|μενοι ἀποδεδώκεν αὐτὰ καὶ τοὺς τόκους τοὺς | γινομένους Κλευμήδει τῶι Ἱπποκράτευς καὶ Κλε|υφάντωι τῶι Κλευμήδευς· τίμαμα τῶν χρημά||των ὧν δικαζόμεθα τάλαντα τριάκοντα. | Ἀπεδικάσθη παρόντων τᾶν ψάφων ταὶ καταδικάζ|ουσαι ἑβδομήκοντα ὀκτώ, ταὶ δὲ ἀποδικάζου|σαι ἑκατὸν ἴκατι ἕξ. Ἐλαφρίου ἑβδόμαι ἐπὶ δέκα, ἐ|πὶ δαμιοργοῦ Ἀλκιμάχου, συναγόρησε τοῖς π[αι]||δίοις τοῖς Διαγόρα Φιλῖνος Διοκλεῦς Κῶιος, ταῖ | δὲ Καλυμνίων [π]όλει Ἑκατώνυμος Πρυτάνι|ος Μιλήσιος, Ἐξάκεστος Ἀλκίνου Καλύμνιος, | Ἀρατόφαντος Ἀριστόλα Καλύμνιος.

1341-42. Amendes infligées à des débiteurs.

1341. Céos. (v^e s. av. J.-C.) — Plaque de marbre blanc trouvée à Iulis, actuellement au musée d'Athènes. — Pridik, *De Celi insulae rebus*, n° 40 (cf. p. 115 s.). — Cf. Keil, *Athen. Mitth.*, XX (1895), p. 51. — Haussoullier, *Rev. de Philol.*, XXIII (1899), p. 167 s. — La liste est disposée en deux colonnes.

Ἐπὶ Διοκύδους ἄρχοντος· τούσδε [ὀφλ]όν|τας δίκας ὑπὸ τοῦ Πετρησιάρχου κ[αὶ] οὔ[κ ἐκ]|τείσαντας ἡ βουλὴ οὐ δυ[ν]αμένη πρᾶξαι | ἀνέγραψεν τὸ ἡμι[όλι]ον κατα[δικάσασα]· ||

I. Γλύκωνα, ΔΠ· | Πυθοκλῆ, ΔΔΔ· | Ἀγροίτην, ⊢ΙΙΙ· | Εὐθύμαχον, Π⊢⊢ΙΙΙ· | Ἀρίδηλον, ΔΠ· || ---ν, ΔΠ· | Ἀμεινόκριτον, Π⊢⊢ΙΙΙ· | [Φ]ερεκλῆ, ΔΠ· | Φιλοκλῆ, ΔΠ· | Λυσιφῶντα, Π⊢⊢ΙΙΙ· || Νικίαν, ⊢ΙΙΙ· | Νι[κ]άνθη, ΔΠ· | Θεομένη, ΔΠ· |

Νικίαν, ΔΓ· | Δεξικλῆ, ΔΔΔΓ· || Φιλοκλείδην, ΔΓ· | Εὔ[κ]ρι-[τ]ον, ΔͰͰΙΙΙ· | Φαναγόραν, ΓͰͰΙΙΙ· | Φιλήρατον, ΔΓ· | Φανόδημον, ΗΔΔ· || Νικαγένη, ΔΓ· | Μείδωνα καὶ προστά|την Ἀριστοκλῆ, ΔΔΔ· | Ἐτέαρχον, ΓͰͰΙΙΙ· | Ἰσόνικον, ΔΓ· || —

II. Φανοκλῆ, Γ[ͰͰΙΙΙ]· | Λεώκριτον, ΔΓ· | Πυθώνυμον, ΓͰͰΙΙΙ· | Τελέσιον, ΓͰͰΙΙΙ· | Θέωρον, ΔΓ· || Ἰσοκράτη, ΔΓ· | Θεωρικλῆ, ΔΓ· | Ἀμείνην, ΓͰͰΙΙΙ· | Ἀριστοπείθη, ΔΔΔ· | Ἀρίστωνα, ΔΔΔΔΓ· || Θεοκλῆ, ΔΔΔΔΓ· | Ἰσοκλέους κληρ[ο]|νόμους, ΔΔΔΔΓ· | Δαπονίδην, ΔΔΔΔΓ· | Φρασυλίδην, ΔΔΔΔΓ· || Φίλωνα, ΗΔΔΔΓ· | Ὄβριμον, ΓΔΔΔΔΓ[ͰͰΙΙΙ]· | Ἀριστόμαχον, ΓΔΔΔΔΓ[ͰͰΙΙΙ]· | Θεοκλῆ, ΔΓ· | Ἀρίδηλον, ΔΓ· || Φιλοστρατίδην, ΔΓ· | Δαίτωνα, ΔΓ· | Εὔχαρμον, ΓͰͰΙΙΙ. —

1342. Ilion. (Ier s. av. J.-C.) — Plaque de marbre trouvée à Novum Ilium. — Schliemann, *Ilios* (trad. fr.), p. 824 s. — Haussoullier, *Rev. de Philol.*, XXIII (1899), p. 165 s. — Cf. Wilhelm, *Arch.-epigr. Mitth. aus Œ.-U.*, XV (1892), p. 10. — Schulze, *Gœtt. Gel. Anz.*, 1897, p. 894. — Wilhelm, *Athen. Mitth.*, XXIII (1898), p. 426.

-----ωνίου τοῦ Εὐδ--|-----οσμεν----ουκαμεναχος Γλαυκο-- | ἐπεγράψαμεν εἰς στήλην κατὰ τὸν νόμον Ἐργόφιλον πατρὸς οὗ ἂν | χρηματίσζῃ ἐζημιωμένον ὑπὸ τῶν προτάνεων τῶν περὶ Διο||φάνην Ἡγησιδήμου, ὀφίλοντα τοὺς κατὰ τὸν νόμον στατῆρας δύο, | καὶ Μηνογένην Μνησάρχου καὶ Ἀρτεμίδωρον Φανία καὶ Διομήδην | Ἀπολλωνίου ἐζημιωμένους ὑπὸ τῶν πρυτάνεων τῶν περὶ Διοφάνην | Ἡγησιδήμου ὑπὸ ἡμέρας τρεῖς, ὀφίλοντας ἕκαστον αὐτῶν στατῆρας δύο· | Μηνόδοτον Μηνοδότου καὶ Ἡρακλείδην καὶ Μηνόδοτον τοὺς Ἡρακλεί||δου ἐζημιωμένους ὑπὸ τῶν περὶ Φαινώνακτα Εὐδήμου πρυτά|νεων, ὀφίλοντα(ς) ἕκαστον αὐτῶν στατῆρας δύο· | Ἀρτεμίδωρον Μηνοφάντου ἐζημιωμένον ὑπὸ τῶν νο|μοφυλάκων τῶν περὶ Ἵππαρχον Ἡγησιδήμου ὀφίλον|τας στατῆρας δύο. —

ACTES ET CONTRATS

1343-49. Testaments et donations.

1343. Tégée [Arcadie]. (v^e s. av. J.-C.) — Plaque de bronze, gravée sur les deux faces (*A*, *B*). Trouvée près de Piali, actuellement au musée d'Athènes. — Kirchhoff, *Monatsber. d. Berl. Akad.*, 1870, p. 51 s. — Rœhl, I.G.A., 68 (*Imag.*, 2^e éd., p. 85, n° 1). — Cauer, 10. — Roberts, 257 (cf. p. 357). — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, XXIII, B (II, p. 60). — Meister, *Berichte der sächs. Akad.*, 1896, p. 266 s. (trad.) — Cf. Schulin, *Das griech. Testament*, p. 37 s.

A. Ξουθίαι ⁝ τôι Φιλαχαίο ⁝ διακάτι|αι μναῖ ⁝ Αἴ κ᾽ αὐτὸς ἐ̃ι, ἴτο ἀνελέσ|θο· ⁝ αἰ δέ κ᾽ ἀποθάνει, ⁝ τôν τέκνον ⁝ | ἐ̃μεν, ⁝ ἐπεί κα πέντε Ϝέτεα ⁝ || hεβôντι· ⁝ αἰ δέ κα μὲ γένετα|ι τέκνα, τôν ἐπιδικατôν ἐ̃μεν· | διαγνôμεν δὲ ⁝ τὸς Τεγεάτα[ς] | κα(τ) τὸν θεθμόν.

B. Ξουθίαι παρκα(θ)θέκα τôι Φιλαχα|ίο τ<ζ>ετρακάτιαι μναῖ ἀργυρίο. Εἰ μ|έν κα ζόε, αὐτὸς ἀνελέσθο, αἰ δέ κ|α μὲ ζόε, τοὶ υἱοὶ ἀνελόσθο τοὶ γνέ||σιοι, ἐπεί κα ἑβάσοντι πέντε Ϝέτε|α· εἰ δέ κα μὲ ζôντι, ταὶ θυγατέρες | [ἀ]νελόσθο ταὶ γνέσιαι· εἰ δέ κα μὲ | ζ[ô]ντι, τοὶ νόθοι ἀνελόσθο· εἰ δέ‿κα | μὲ νόθοι ζôντι, τοὶ [ἄσ]σιστα πόθικ||ες ἀνελόσθο· εἰ δέ κ᾽ ἀνφιλέγοντ|(ι, τ)οὶ Τεγεᾶται διαγνόντο κα(τ) τὸν θεθμόν.

B, ligne 9, le bronze porte ΣΑΣΙΣΤΑ.

1344. Calaurie. (ii^e s. av. J.-C.) — Base en pierre grise. — Lebas-Foucart, 1754. — Rangabé, *Ant. Hell.*, 821^b. — Prellwitz, *Samml. Griech. Dial.-Inschr.*, 3380. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, XXIV, C (II, p. 102). — Cf. Schulin, *Griech. Testament*, p. 43. — Schulze, *Kuhn's Zeitschr.*, XXXIII, p. 130. — Wide et Kjellberg, *Athen. Mitth.*, XX (1895), p. 289 s. — Voir plus haut notre n° 178.

Θεοί· τύχαι ἀγαθᾶι. Ἐπὶ τοῖσδε ἀνέθηκε Ἀγασίκρατις | [Τε]ισία τῶι Ποσειδᾶνι ἀργυρίου δραχμὰς τριακοσίας ὑ|πέρ τε αὑσαυτᾶς καὶ τοῦ ἀνδρὸς Σωφάνεος καὶ τοῦ υ|ἱοῦ Σωσιφάνεος [κ]αὶ τᾶν θυγατέρων Νικαγόρας καὶ Ἀρισ||το[κ]λείας, ὥστε θύειν τῶι

Ποσειδᾶνι ἀπὸ τοῦ διαφόρου | ἱερεῖον τέλειον καὶ τῶι Δι[ὶ τ]ῶι Σωτῆρι ἱερεῖον τέλειον, [β]ω[μὸ]ν ἑσ[σ]αμένους παρὰ τὰν εἰκόνα τὰν ἀνδρὸς α[ὐ]|τᾶς Σωφάνεος, καὶ τὸ λοιπὸν τοῦ διαφόρου καταχρῆσ|θαι. Θύειν δὲ διὰ τριῶν ἐτέων ἐν τῶι Ἀρτεμισίωι || [μη]νὶ ἑβδόμαι ἱσταμένου. Τοὺς δὲ ἐπιμελητὰς τ[ο|ὺς] αἱρεθέντας τά τε λοιπὰ ἐπιμελεῖσθαι ὡς ὅτι χα|ριέστατα καὶ ὅκα [κ]α ἁ θυσία ἦι· τὰς δὲ εἰκόνας καθαρὰς | ποιεῖν ἐν ἐπιφανεστάτωι καὶ τὰν ἐν τῶι ναῶι τὰν Ἀ|γασικράτιος καὶ σ[τε]φανοῦν ὡς ὅτι χαριέστατα· καὶ ἐπεί || κα τὸν λόγον ἀποδῶντι τοῦ ἀναλώματος, κατομόσαι εἶ | [μ]ὰν ὀρθῶς καὶ δικαίως ἐπιμεμελῆσθαι. —

1345. Delphes. (182 av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 436. — Baunack, *Samml. Griech. Dial. Inschr.*, 2101. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, XXIII, D (II, p. 62 s.). — Cf. Conze, *Philol.*, XIX, p. 178. — Keil, *Rhein. Mus.*, XVIII (1863), p. 262 s.

Ἄρχοντος Δαμοσθένεος, μηνὸς Ποιτροπίου. Ἐπὶ τοῖσδε ἀνέθηκε Ἀλκέσιππος | Βουθῆρα Καλυδώνιος τῶι θεῶι καὶ τᾶι πόλει τᾶι Δελφῶν χρυσοῦς ἑκατὸν τρι|άκοντα καὶ ἀργυρίου μνᾶς εἴκοσι δύο στατῆρας τριάκοντα, εἴ τί κα πάθῃ | Ἀλκέσιππος, ὥστε θυσίαν καὶ δαμοθοινίαν συντελεῖν τὰν πόλιν τῶν Δελφῶν || τῶι Ἀπόλλωνι τῶι Πυθίωι κατ' ἐνιαυτόν, ποτονομάζοντας Ἀλκεσίππεια ἀπὸ | τῶν τόκων τοῦ τε χρυσίου καὶ ἀργυρίου, συντελεῖν δὲ τὰν θυσίαν ἐν τῶι Ἡραίωι | μηνί, πονπεύειν δὲ ἐκ τᾶς ἅλωος τοὺς ἱερεῖς τοῦ Ἀπόλλωνος καὶ τὸν ἄρχοντα | καὶ τοὺς πρυτάνεις καὶ τοὺς ἄλλους πολίτας πάντας. Ἀναγραψάντω δὲ οἱ ἄρ|χοντες ἐν τῶι ἱερῶι καὶ ἁ ἀνάθεσις κυρία ἔστω. Καὶ τὰ ἄλλα πάντα τὰ ἴδια<λ>|| ἀνατίθητι, εἴ τί κα πάθῃ, τῶι θεῶι καὶ<και>τᾶι πόλει καὶ Θευτίμαν τὰν ἰδίαν | θεράπαιναν ὥστε ἐλευθέραν εἶμεν αὐτάν, εἴ τί κα πάθῃ. Θαψάντω δὲ Δάμιππος | καὶ Θευτίμα καὶ Ἀγέας καὶ Πισίλαος ἀπὸ τῶν χαλκῶν, τῶν καταλιμπάνει πα|ρ' αὑσαυτόν, καὶ λόγον ἀποδόντω τᾶι πόλει. Μάρτυροι· Κριτόλαος, Λάτροπος, | Ἀγέας, Πολεμοκράτης, Ἀγασίδαμος, Γενναῖος, Ξενοκράτης, Μεδεώνιος, Στρά||ταγος, Καλλικλῆς, Ἀνδρόνικος, Πισίλαος, Δεξικράτης, Χαρίξενος, Πολέμαρ|χ|ος Παυσανία. Τὰς διαθήκας φυλάσσει Ἄθαμβος, Ἀγέας, Πεισίλαος.

1346. Pétilia [Grande-Grèce]. (v[e] s. av. J.-C.) — Lame de bronze trouvée à Strongoli, actuellement au musée de Naples. — C.I.G., 4. — Rœhl, I.G.A., 544 (*Imag.*, 2[e] éd., p. 45, n° 12). — Cauer, 274. — Roberts, 307. — Hoffmann, *Samml. Griech. Dial.-Inschr.*, 1639. — I.G.S.I., 636. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, XXIII, A (II, p. 59). — Cf. Schulin, *Das griech. Testament*, p. 44. — Simon, *Wiener Stud.*, XI (1889), p. 169 s.

Θεός· Τύχα. Σάοτις · δίδ|οτι · Σικαινίαι · τὰν Fοι|κίαν · καὶ

τἆλλα · πάντ|α · Δαμιοργὸς · Παραγόρ||ας · πρόξενοι · Μίνκον · | Ἁρμοξίδαμος · Ἀγάθαρ|χος · Ὀνάτας · Ἐπίκορ|ος.

1347. Mégaride. (IIIe s. av. J.-C.) — Marbre placé autrefois dans une maison de Mégare, actuellement perdu. — Lebas-Foucart, 25a. — C.I.G.S., I, 43. — Cf. Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, II, p. 142.

Ἀγαθῆι τύχηι. | Ἀνατίθησιν Ἀρέτη Ἀριστάνδρου Ποσει|δωνίωι καὶ τῶι κοινῶι τῶν Αἰγοσθενιτῶν | τοῦ κήπου τὸ ἥμυσυ, ἀγοράσασα παρὰ || τῶν Αἰγοσθενιτῶν δραχμῶν χιλίων, | τὸ πρὸς θάλασσαν, καὶ ποεῖ τέμενος | Ποσειδώνιον. Τοῦ δὲ τεμένους τούτου | [τὸν γιγνόμενον] φόρο[ν] λ[αμβά]νον[τε]ς οἱ | Αἰγοσθενῖται προστιθέτωσαν πρὸς τὸ || ἀ[ρ]γύ[ρ]ιο[ν τ]ὸ εἰς τὴν θυσίαν ἀν[α]λισκό|μενον, ἧ[ν α]ὐτοὶ ἐψηφισμένοι εἰσὶν | θύειν Ποσειδωνίωι καὶ πρὸς ἀγῶνα | τὸν τιθέμενον ἐν τῆι θυσίαι τῆι Ποσει|δωνίου καὶ ποιούντ[ωσ]αν τήν τε θυσίαν || καὶ τὸν ἀγῶνα λαμπρότερον.

1348. Corcyre. (IIIe s. [?] av. J.-C.) — Pierre trouvée à Corfou, actuellement perdue. — C.I.G., 1850. — Blass, *Samml. Griech. Dial.-Inschr.*, 3213. — C.I.G.S., III, 695. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, XXIII, E (II, p. 64).

Θεὸς τύχαν. Ἀριστοδά[μα]ς δε|κάτας [Β]αχχιδᾶν δίδωτι -- | Πολυτίμωι, [καὶ] αἴ κά (τι) πάσχη τὰν γᾶν --- | Ἐπάκο[ος] Ἀριστοδάμαν[τι] || Δαμουχίδας Εὐκλείδα· | Πολυτίμωι [Φι]λωνίδας Α[ἰ]σχύλου. | Τὰν ἐν Κνισι ---

1349. Mélitée [Thessalie]. (Vers 200 av. J.-C.) — « A l'angle oriental de murailles helléniques ». — Monceaux, *Bull. de Corr. Hell.*, VII (1883), p. 41 s. — Cauer, 388. — Fick, *Samml. Griech. Dial.-Inschr.*, 1453. — Cf. Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Grecques*, II, p. 144.

Ἀμύνανδρος | Μαχάειος τᾷ | πόλι ἔδωκε ἐ|ν τὰν πύλαν κ||αὶ ἐν τὰ τείχ|η ἀργυρίου τ|άλαντα δέκα.

1350. Myconos. Registre des constitutions de dot. (IIIe s. av. J.-C.)

Gravé sur le même marbre que notre no 714. — Koumanoudis, Ἀθήναιον, II (1873), p. 235 s. — Lüders, *Hermes*, VIII (1873), p. 192 s. — Barilleau, *Bull. de Corr. Hell.*, VI (1882), p. 590 s. — Dittenberger, 433. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, VI (I, p. 48 s.) — Nous avons supprimé les débris très mutilés des dernières lignes.

Ἐπ' ἀρχόν]των Σωστράτου ----- | Ἀγαθῆι τύχηι. | [Σώ]στρατος : Ἀρ : τὴν θυγατέρα Ξάνθην ἐνηγγύησεν [Ἐπαρ|χίδει] ◁ : καὶ προῖκα ἔδωκε χιλίας καὶ τριακοσίας δραχμάς· ||

τούτ[ου] χιλία[ς μὲν] δραχμὰς τὰς ἐνούσας ἐν τῶι ἐράνωι τῶ[ι] | πεντακοσιοδράχμωι, ὃν συνέλεξεν Ἀλεξικλῆς, οὗ μετεῖχ[εν] | Καλλισταγόρας, ἀργυρίου δὲ προσέθηκεν ἑκατὸν δραχμάς, ἐσθ[ῆ]ν δὲ τετιμημένην διακοσίων δραχμῶν· ὡμολόγησαν δὲ Σώστρατ|ος καὶ Ἀριστοκράτης Ἐπαρχίδει συνεισπράξειν τὸν ἔρανον τοῦτον καὶ || ἐάν τινα τῶν ἐσφορῶν μὴ δύνηται εἰσπρᾶξαι Ἐπαρχίδης :, συμπροσθήσ[ε]|ιν Σώστρατος καὶ Ἀριστοκράτης. ▷◁ Κάλλιππος : Ἀν : τὴν θυγατέρα Ἀρι|στολόχην ἐνηγγύησε Σωστράτωι γυναῖκα καὶ προῖκα μυρίας τετρακισχι|λίας, ἀπέδωκε δὲ καὶ τετρακοσίας ἐξ τὸν τόκον ὃν ἔλαβε παρὰ Σωστράτ|ου τῆι προικί. ▷◁ Ἀμεινοκράτης : Μυ : Ἀρισταγόρην τὴν θυγατέρα ἐνηγγ[ύ]|ησε Φιλοτίμωι γυναῖκα καὶ προῖκα ἔδωκε μ[υρί]ας δραχμάς. ▷◁ Καλλίξ|ενος τὴν θυγατέρα Τιμηκράτην Ῥοδοκλεῖ καὶ πρ[οῖκ]α ἔδωκεν ἑπτακο|σίας δραχμάς· τούτου ἐσθὴν τριακοσίων· τὴν ἐσθὴν [καὶ] ἑκατὸν δ|ραχμὰς ὡμολόγει ἔχειν Ῥοδοκλῆς, τῶν δὲ τριακοσίων [δρα]χμῶν | ὑπέθηκε Καλλίξενος Ῥοδοκλεῖ τὸ οἴκημα τὸ ἐμ πόλει, ὧι γείτων [ἡ οἰκία ἡ] || Κτησιδήμου τοῦ Χαιρέλα. ▷◁ Δεξικλῆς Μνησῶ τὴν θυγατέρα ἐ[ν]|ηγγύησε Τιμέαι : Πυρ : γυναῖκα, καὶ προῖκα ἔδωκε τρισχ(ιλ)ίας πεντα|κοσίας: ▷◁ Κτησωνίδης : Θαρ : Δικαίην τὴν ἀδελφὴν ἐνηγγύησ|ε Παππίαι : Πα : γυναῖκα, καὶ προῖκα χ(ιλ)ίας ἀργυρίου καὶ ἐσθὴν πεν|τακοσίων· τὴν ἐσθὴν ὡμολόγει ἔχειν Παππίας καὶ ἀργυρίου || ἑκατὸν δραχμάς. ▷◁ Θαρσαγόρας : Μνη : ἐνηγγύησε Πανθαλίδα τὴν | θυγατέρα τὴν Μνησιβούλου Πυρράκωι : Θαρ : γυναῖκα, καὶ προῖκα τὴν οἰ|κίαν τὴν ἐμ προαστίωι : ἧι γείτων : Νικίας Χαρίου : ὥστ' εἶναι κύριον τῆς | οἰκίας Θαρσαγόραν : ἕως ἂν ζῆι. ▷◁ Κτησίων : Ἀγλω : ἐνηγγύησεν Ἑρμο|ξένην τὴν θυγατέρα Ἱερωνίδηι : Ν.. γυναῖκα, καὶ προῖκα ἔδωκε χιλί||ας μὲν καὶ ἑξακοσίας καὶ τὴν οἰκίαν : Ἀρχίνου, ἧι γείτων : ἡ οἰκία | ἡ Καλλίππου τοῦ Ἡρᾶ [καὶ] θεράπαιναν ἧι ὄνομα Σύρα κα[ὶ] | ἄλλην θεράπαι[ν]αν ----- ▷◁ Εἰδε|σίλεως Τ--ουσαν τὴν θυγατέρα Καλ--- γυναῖκα, καὶ προῖ||κ]α ἔδωκεν ΧΧ : τούτου ἀργυρίο[υ ----

1351. Pirée. **Règlement des locations consenties par le dème.** (321/20 av. J.-C.)

Stèle de marbre blanc surmontée d'un fronton, actuellement au British Museum. Στοιχηδόν. — C.I.G., 103 (cf. I, 900). — Hicks, *Greek Inscr. in the Br. Mus.*, 13. — C.I.A., II, 1059. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, XIII (I, p. 236 s.).

Ἐπὶ Ἀρχίππου ἄρχοντος· Φρυνίωνος δημαρχοῦ[ν]τος. | Κ]ατὰ τάδε μισθοῦσιν Πειραιεῖς Παραλίαν καὶ Ἁλμυρί||[δ]α

καὶ τὸ Θησεῖον καὶ τἆλλα τεμένη ἅπαντα· Τοὺς μισθω|[σ]αμένους ὑπὲρ : Δ : δραχμὰς καθιστάναι ἀποτίμημα τῆς μ||[ι]σθώσεως ἀξιόχρεων, τοὺς δὲ ἐντὸς Δ δραχμ[ῶ]ν ἐγγυητὴ|[ν] ἀποδιδόμενον τὰ ἑαυτοῦ τῆς μισθώσεως· ἐπὶ τοῖσδε μ|[ι]σθοῦσιν ἀνεπιτίμητα καὶ ἀτελῆ· ἐὰν δέ τις εἰσφορὰ γ|[ί]γνηται ἀπὸ τῶν χωρίων τοῦ τιμήματος, τοὺς δημότας ε|[ἰ]σφέρειν· τὴν δὲ [ὕ]λ[ὐ]ν καὶ τὴν γῆν μὴ ἐξέστω ἐξάγειν το||[ὺ]ς μισθωσαμένους μήτε ἐκ τοῦ Θησείου μήτε ἐκ τῶν ἄλλ|ων τεμενῶν, μηδὲ τὴν ὕλην ἄλλοσ' ἢ τῶι χωρίωι· οἱ μισ[θω]|σάμενοι τὸ Θεσμοφόριον καὶ τὸ τοῦ Σχοινοῦντος καὶ |τ| ἄλλα ἐννόμια τὴν μίσθω|σ|ιν καταθήσουσι τὴν μὲν ἡμίσ|εαν ἐν τῶι Ἑκατομβαιῶνι, τὴν δὲ ἡμίσεαν ἐν τῶι Ποσιδε||ῶνι· οἱ μισθωσάμενοι Παραλίαν καὶ Ἁλμυρίδα καὶ τὸ Θη|σεῖον καὶ τἆλλα εἴ πού τί ἐστιν, ὅσα οἷόν τε καὶ θεμιτόν | ἐστιν ἐργάσιμα ποεῖν, κατὰ τάδε ἐργάσονται· τὰ μὲν ἐ|ννέα ἔτη ὅπως ἂν βούλωνται, τῶι δὲ δεκάτωι ἔτ[ε]ι τὴν ἡ|μίσεαν ἀροῦν καὶ μὴ πλεί[ω], ὅπως ἂν τῶι μισθωσαμένωι || μετὰ ταῦτα ἐξῆι ὑπεργάζεσθαι ἀπὸ τῆς ἕκτης ἐπὶ δέκ|α τοῦ Ἀνθεστηριῶνος· ἐὰν δὲ πλείω ἀρόσει ἢ τὴν ἡμίσε|αν, τῶν δημοτῶν ἔστω ὁ καρπὸς ὁ πλείων. Τὴν οἰκίαν τὴ[ν | ἐν Ἁλμυρ]ίδι στέγουσαν παραλαβὼν καὶ ὀρθήν, κατὰ τ[α|ῦτα ---------------]ν ὀρθαὶ | ---

Le marbre porte, l. 5, ΔΡΑΧΜΑΝ; l. 9, ΥΛΙΝ; l. 12, à la fin ΚΑΙΣ; l. 18, ΕΤΗΙ; l. 19, ΠΛΕΙΛ.

1352. Poiessa [Céos]. **Extrait du règlement général des baux.** (Fin du v^e s. av. J.-C.)

Petite stèle de marbre trouvée près de Poiessa. — Halbherr, *Mus. Ital. di Ant. cl.*, I (1885), p. 191. — Bechtel, *Inschr. d. Ion. Dial.*, 47. — Pridik, *De Cei ins. rebus*, 69 (cf. p. 121 s.). — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, I, p. 253 s.

Θε|οί. | Ποιασσίων ἡ γῆ. | [Τ]ὸν ἐνοικοῦντ[α | ἀ]ποδιδόναι με||νὸς Βακχιῶνος | δεκάτηι : ΔΔΔ· | ἂν δὲ μὴ ἀποδῶι | ἀπιέναι ἐκ τῶν | χωρίων. Φόρους || φέρεν ἐς Ποιᾶσσα|ν. Οἰκίην ὀρθὴν κα[ὶ] | στέγουσαν παρέ|χεν. Δένδρα ἥμε|ρα μὴ κόπτεν.

1353. Éphèse. **Clauses et conditions de l'adjudication d'un terrain communal.** (1^re moitié du iii^e s. av. J.-C.)

Pierre encastrée à l'angle d'une tour antique, à Éphèse. — Benndorf, *Festschrift f. H. Kiepert*, 1898, p. 250 s. (trad.) = *Jahreshefte d. œsterr. arch. Inst.*, II (1899), Beiblatt, p. 27 s. — Cf. Wilamowitz, *Hermes*, XXXIV (1899), p. 209 s.

----επω-----λο--ν. — | [Μισθ]οῦμεν τὴ[ν γῆν τὴν δ]ημ[οσί]αν, ἥτις ἦν τῶν παίδων τῶν Κλει[το|φῶ]ντος, καθ' ἅσσα

ἐν[έμοντ]ο. Ἐξαιρούμεθα παρὰ θάλασσαν ὁδὸν πόδας | εἴκοσι ἀποτέμνοντες ἀπὸ τῆς γῆς πλάτος πόδας εἴκοσι εἰς τὸ τεῖχος διὰ || τῆς γῆς τῆς Κλειτ[οφ]ῶ[ντ]ος, καὶ παραστάσεις τῶι τείχει, ἐκ τῆς μὲν ἔσω μοί|ρης πόδας τεσσε[ρ]άκοντα, ἐκ τῆς δὲ ἔξω πόδας πεντήκοντα, καὶ κατὰ | τῶν πύργων τὰς ἐχθέσεις πόδας πεντήκοντα, καὶ τὸν Ἀστυάγου πάγον, | ὡς ὁ στεφὼν περιφέρει κύκλωι, πάντα ἐξαιρεύμεθα. Καὶ ἐὰν τεῖχος δέ|μωμεν ἀπὸ τοῦ πύργου τοῦ Ἀστυάγου πάγου τὸ κατὰ τὸ Ἕρμαιον καὶ || ἀνακάμπτωμεν ἄνω, ὅσα διὰ τῆς γῆς ταύτης, τὰς παρ[α]στάσεις τῶι | τείχει κατὰ τὰ προειρημένα. Λαψόμεθα δὲ λατόμια, [ὅ]σα ἔνεστιν | ἐν τῆι γῆι ταύτηι, ἢ σκληρὰ ἢ πώρινα χρησόμεθα εἰς τὰ ἔργα καὶ ὁδοῦ | ὥστε προσάγειν τοὺς λίθους πρὸς τὰ ἔργα καὶ ὕδατ[ος]. Τοὺς ἐργῶνας | ἐν τῆι γῆι ἐναυλίζεσθαι οὐ κωλύ[ε]ι μέχρι [τῆς] τε[λειώσεως τῶν ἔργων.

1354-59. Contrats de louage.

1354. Aixoné. (346/5 av. J.-C.) — Marbre trouvé en Attique, actuellement au musée de Leyde. — C.I.G., 93. — C.I.A., II, 1055. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, XIII[bis] (I, p. 238 s.). — Cf. Haussoullier, *Vie municipale en Attique*, p. 69 s.

Κα(τὰ) τάδε ἐμίσθωσαν Αἰξωνεῖς τὴν Φιλλεῖδα | Αὐτοκλεῖ Αὐτέου καὶ Αὐτέαι Αὐτοκλέους τετ|ταράκοντα ἔτη, ἑκατὸν πεντήκοντα δυοῖν δρ|αχμῶν ἕκαστον τὸν ἐνιαυτόν, ἐφ' ὧτε καὶ φυτε||ύοντα(ς) καὶ ἄλλον τρόπον ὃν ἂν βούλωνται· τὴν δ|ὲ μίσθωσιν ἀποδιδόναι τοῦ Ἑκατομβαιῶνος μη|νός, ἐὰν δὲ μὴ ἀποδιδῶσιν εἶναι ἐνεχυρασίαν Αἰ|ξωνεῦσιν καὶ ἐκ τῶν ὡραίων τῶν ἐκ τοῦ χωρίου καὶ | ἐκ τῶν ἄλλων ἁπάντων τοῦ μὴ ἀποδιδόντος. Μὴ ἐ||ξεῖναι δὲ Αἰξωνεῦσιν μήτε ἀποδόσθαι μήτε μισ|θῶσαι μηδενὶ ἄλλωι, ἕως ἂν τὰ τετταράκοντα ἔτ|η ἐξελθεῖ. Ἐὰν δὲ πολέμιοι ἐξείργωσι ἢ διαφθείρ|ωσί τι, εἶναι Αἰξωνεῦσιν τῶν γενομένων ἐν τῶι χ|ωρίωι τὰ ἡμίσεα. Ἐπειδὰν δὲ τὰ τετταράκοντα ἔτη ἐξελθεῖ, παραδοῦναι τοὺς μεμισθωμένους τὴν ἡμ|ίσεαν τῆς γῆς χέρρον καὶ τὰ δένδρα ὅσ' ἂν ἔι ἐν τῶι χ|ωρίωι, ἀμπελουργὸν δ' ἐπάγειν Αἰξωνέας τοῖς ἔτεσ|ι τοῖς τελευταίοις πέντε. Χρόνος ἄρχει τῆς μισθώ(σεως) | τοῦ Δημητρίου καρποῦ Εὔβουλος ἄρχων, τοῦ δὲ ξυλίν||ου ὁ μετ' Εὔβουλον. Τὴν δὲ μίσθωσιν ἀναγράψαντας ε|ἰστήλας λιθίνας τοὺς ταμίας τοὺς ἐπὶ Δημοσθένου|ς δημάρχου<ς> στῆσαι τὴν μὲν ἐν τῶι ἱερῶι τῆς Ἥβης ἔν|δον, τὴν δ' ἐν τεῖ λέσχει, καὶ ὅρους ἐπὶ τῶι χωρίωι μὴ ἔ|λαττον ἢ τρίποδας ἑκατέρωθεν δύο. Καὶ ἐάν τις εἰσ φορὰ ὑπὲρ

τοῦ χωρίου γίγνηται εἰς τὴν πόλιν, Αἰξωνέ|ας εἰσφέρειν, ἐὰν δὲ οἱ μισθωταὶ εἰσενέγκωσι, ὑπολο|γίζεσθαι εἰς τὴν μίσθωσιν. Τὴν δὲ γῆν τὴν ἐκ τῆς γεω|ρυχίας μὴ ἐξεῖναι ἐξάγειν μηδενὶ ἀλλ' ἢ εἰς αὐτὸ τὸ χ|ωρίον. Ἐὰν δέ τις εἴπει ἢ ἐπιψηφίσει παρὰ τάσδε τὰς σ|υνθήκας πρὶν τὰ ἔτη ἐξελθεῖν τὰ τετταράκοντα εἶν|αι ὑπόδικον τοῖς μισθωταῖς τῆς βλάβης.

Ἐτεοκλῆς | Σκάωνος Αἰξωνεὺς εἶπεν· Ἐπειδὴ οἱ μισθωταὶ τῆς Φιλ|λεῖδος Αὐτοκλῆς καὶ Αὐτέας συγχωροῦσιν ὥστε ἐκκό|ψαι τὰς ἐλάας Αἰξωνεῦσιν, ἑλέσθαι ἄνδρας οἵτινες || μετὰ τοῦ δημάρχου καὶ τῶν ταμιῶν καὶ τοῦ μισθωτοῦ ἀπ|οδώσονται τὰς ἐλάας τῶι τὸ πλεῖστον διδόντι, τοῦ δὲ | εὑρόντος ἀργυρίου λογισάμενοι ἐπὶ δραχμεῖ τὸν τό|κον τὸν ἥμυσυν ἀφελεῖν ἀπὸ τῆς μισθώσεως καὶ ἐνγ|ράψαι ἐν ταῖς στήλαις τοσούτωι ἐλάττω τὴν μίσθωσιν· || τοῦ δὲ ἀργυρίου τῆς τιμῆς τῶν ἐλαῶν λαμβάνειν Αἰξων|έας τὸν τόκον. Τὸν δὲ πριάμενον τὰς ἐλάας ἐκκόψαι ἐ|πειδὰν Ἀνθίας τὸν καρπὸν κομίσηται τὸν μετ' Ἀρχία|ν ἄρχοντα, πρὸ τοῦ ἀρότου. Καὶ μύκητας καταλιπεῖν μὴ | ἔλαττον ἢ [π]αλα[σ]τιαίους ἐν τοῖς περιχυτρίσμασιν, ὅ||πως ἂν αἱ ἐλᾶαι ὡς κάλλισται καὶ μέγισται γένωνται | ἐν τούτοις τοῖς ἔτεσι. Οἵδε ἠιρέθησαν ἀποδόσθαι τὰ|ς ἐλάας· Ἐτεοκλῆς, Ναύσων, Ἁγνόθεος.

Le marbre porte, l. 44, ΤΑΛΑΝΤΙΑΙΟΥΣ.

1355. Pirée. (2e moitié du ive s. av. J.-C.) — Plaque de marbre pentélique trouvée près de Zéa, actuellement au musée d'Athènes. — Wescher, *Rev. Archéol.*, 1866, II, p. 352 s. — Kirchhoff, *Hermes*, II (1867), p. 169. — Dittenberger, 440. — C.I.A., II, 1058. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, XIIIter (I, p. 240 s.). — Cf. Caillemer, *Le contrat de louage à Athènes*, 1869, p. 5 s. (trad.) — Euler, *De locatione ... Graecorum*, Giessen, 1882, p. 8 s. — Fränkel, *Hermes*, XVIII (1883), p. 314 s. — Haussoullier, *Vie municipale*, p. 72 s. — Nous avons revu le texte sur un estampage que nous devons à l'obligeance de M. Ad. Wilhelm.

Ἀγαθεῖ τύχει. Ἐπὶ Φιλιππίδου ἱερέ|ως. Κατὰ τάδε ἐμίσθωσαν Ἀντί|μαχος Ἀμφιμάχου, Φειδόστρατος | Μνησιχάρου, Δημάρετος Λεωσθένο||υ, Κτησίας Κτησιφῶντος, Κτήσιππος | Κτησιφῶντος, [Κ]τη[σι|χάρης Κτησιφ|ῶντος, Κτησίας [Τι]μοκράτου, Χαιρέα|ς Μνησιχάρου, Κυθηρίων οἱ μερῖται, | τὸ ἐργαστήριον τὸ ἐν Πειραεῖ καὶ τ||ὴν οἴκησ[ιν] τὴν προσοῦσαν αὐτῶι | καὶ τὸ οἰκημάτιον τὸ ἐπὶ τοῦ κοπρῶνος εἰς τὸν ἅπαντ|α χρόνον Εὐκράτει Ἐξηκίου Ἀφιδναίοι δραχμῶν 𐅃⊢⊢⊢⊢ το|ῦ ἐνιαυτοῦ ἑκάστου ἀτελὲς ἁπάντων, ἐφ' ὧιτε διδόν|αι τὰς<ς> μὲν ΔΔΔ ἐν τῶι Ἑκατονβαιῶνι, τὰς δ' εἴκοσι καὶ || τέτταρας ἐν τῶι Ποσι-

δεῶνι, ἐπισκευάσαι δὲ τὰ δεόμε|να τοῦ ἐρ[γ]αστηρίου καὶ τῆς οἰκή|σεως ἐν τῶι πρώτ|ωι ἐνιαυτῶι. Ἐὰν δὲ μὴ ἀποδιδῶι τὴν μίσθωσιν κατὰ τὰ | γεγραμμένα ἢ μὴ ἐπισκευάζει, ὀφείλειν αὐτὸν τὸ διπ|λάσιον καὶ ἀπιέναι Εὐκράτην ἐκ τοῦ ἐργαστηρίου μη||θένα λόγον λέγοντα· ἐνγυητὴς τοῦ ποήσειν τὰ γεγρα|μμένα Ἐξηκίας Ἀφιδναῖος ἐν τῶι χρόνωι τῶι γεγρα|μμένωι· βεβαιοῦν δὲ τὴν μίσθωσιν Κυθηρίων τοὺς μερί|τας Εὐκράτει καὶ το[ῖ]ς ἐγ[γόνοις] αὐτοῦ, εἰ δὲ μή, ὀφείλειν | δραχμὰς Χ. Ἀναγράψαι [δὲ τά]σδε τὰς συνθήκας Εὐ||κράτην ἐν στήλει λιθίνει καὶ στῆσαι [παρὰ τὸ]ν ἥρω. Ἐὰ|ν δέ [τις] εἰσφορὰ γίγνηται ἢ ἄλλο τι ἀπ[ό-τε]ισμα τρό|πωι ὁτοιοῦν, εἰσφέρειν Εὐκράτην | κατὰ τὸ τίμημα κα|θ᾽ ἑπτὰ μνᾶς. Θεοί.

1356. Athènes. *Orgéons.* (306 av. J.-C.) — Marbre trouvé au N. de la colline des Nymphes. Στοιχηδόν. — G. Dana Lord, *Amer. Journ. of Archaeology*, 1899, p. 44 s. (trad.)

Θε]οί. | [Ο]ἱ ὀργεῶνες ἐμίσθωσαν τὸ ἱερὸν το|[ῦ] Ἐγρέτου Διογνήτωι Ἀρκεσίλου Με|λιτεῖ εἰς δέκα ἔτη : ΗΗ : δραχμῶν τοῦ ἐ||<ε>νιαυτοῦ ἑκάστου, χρῆσθαι τῶι ἱ|ερῶι καὶ ταῖς οἰκ(ί)αις ταῖς ἐνωικοδ|ομημέναις ὡς ἱερῶι. Περιαλείψει δ|ὲ Διόγνητος καὶ τῶν τοίχων τοὺς δε|ομένους, ἐνοικοδομήσει δὲ καὶ κατ||ασκευᾶι καὶ ἄλλ᾽ ὅσ᾽ ἄν τι βούληται | Διόγνητος. Ὅταν δὲ ὁ χρόνος ἐξίηι | αὐτῶι τῆς δεκαετίας, ἄπεισιν ἔχων | τὰ ξύλα καὶ τὸν κέραμον καὶ τὰ θυρώ|[μ]ατα, τῶν δ᾽ ἄλλων κινήσει οὐθέν. Ἐπι||[μ]ελήσεται δὲ καὶ τῶν δένδρων τῶν | ἐν τῶι ἱερῶι πεφυκότων, καὶ ἄν τι ἐγ|λείπει ἀντεμβαλεῖ καὶ παραδώσει | τὸν αὐτὸν ἀριθμόν. Τὴν δὲ μίσθωσιν | ἀποδώσει Διόγνητος τῶι ἀεὶ ταμιε||ύοντι τῶν ὀργεώνων ἑκάστου τοῦ ἐν|ιαυτοῦ, τὴμ μὲν ἡμίσεαν τὰς : ΗΗ : δραχμὰ[ς] | τοῦ Βοηδρομιῶνος τῆι νουμηνίαι, | τὴν δὲ λοιπὴν τὰς : Η : δραχμὰς τοῦ Ἐλα|φηβολιῶνος τῆι νουμ(η)νίαι. Ὅταν δὲ || θύωσιν οἱ ὀργεῶνες τῶι ἥρωι τοῦ Βο|ηδρομιῶνος, παρέχειν Διόγνητον τ|ὴν οἰκίαν, οὗ τὸ ἱερόν ἐστιν, ἀνεωιγ|μένην καὶ στέγην καὶ τὸ ὀπτάνιον | καὶ κλίνας καὶ τραπέζας εἰς δύο τρ||ίκλινα. Ἐὰν δὲ μὴ ἀποδίδωι τὴμ μίσθ|ωσιν Διόγνητος ἐν τοῖς χρόνοις τοῖς | γεγραμμένοις ἢ τἆλλα μὴ ποεῖ τὰ ἐν | τῆι μισθώσει γεγραμμένα, ἄκυρος | ἔστω αὐτῶι ἡ μίσθωσις καὶ στερέσθ[ω] || τῶν ξύλων καὶ τοῦ κεράμου καὶ τῶν | θυρωμάτων, καὶ ἐξέστω τοῖς ὀργεῶσι | μισθοῦν ὅτωι ἂν βούλωνται. Ἐὰν δέ τις | εἰσφορὰ γίνηται, ἀπὸ τοῦ τιμήματος | τοῖς ὀργεῶσιν εἶναι. Ἀναγράψαι δὲ || τὴμ μίσθωσιν τήνδε Διόγνητον εἰς | τὴν στήλην τὴν ὑπάρχουσαν ἐν τῶι

ἱ[ερῶι. Χρόνος ἄρχει τῆς μισθώσεως | ἄρχων ὁ μετὰ Κόροιβον ἄρχοντα. —

1357. Athènes. *Phratrie des Dyaliens.* (300/299 av. J.-C.) — Stèle en marbre de l'Hymette, trouvée à Mérenda (Attique), actuellement au musée d'Athènes. Στοιχηδόν. — Koumanoudis, Ἀθήναιον, II (1873), p. 484. — C.I.A., II, 600. — Cf. Buermann, *Drei Studien auf d. Geb. d. att. Rechts*, p. 645. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, I, p. 264 s. — Billeter, *Geschichte des Zinsfusses*, Leipzig, 1898, p. 17 s.

. . . . αρχος εἶπεν· Δεδόχθαι Δυα[λεῦσιν]· | μισθῶσαι τὸ χωρίον τὸ Μυρρινο[ῦντι τὸ | κ]οινὸν Δυαλέων Διοδώρωι κατὰ συν[θή-κ|α]ς τάσδε· Κατὰ τάδε ἐμίσθωσαν τὸ χωρί[ο]||ν τὸ Μυρρινοῦντι ο[ἱ] φρατρίαρχοι Κα[λλ]ικλ[ῆ]ς Ἀριστείδου Μυρρινούσιος κα[ὶ Δ|ι]οπείθ[η]ς Διοφάντου Μυρρινούσιος [κα]|ὶ τὸ κοινὸν Δυαλέων τ[ὴ]ν Σακκνην καλ[ου]|μένην ἔτη δέκα, — ὧι γείτων βορρᾶθεν .||..ος, νοτόθεν δὲ Ὀλυμπιοδώρου χωρίον, ἡλ|ίου ἀνιόντος ὁδός, δυομένου Ὀλυμπιοδ|ώρου χωρίον, Διοδώρωι Κ[α]νθάρου Μυρρι|νουσίωι ΠΗ — τοῦ ἐνιαυτοῦ ἑκάστου ἀτ|[ε]λὲς καὶ ἀνεπιτίμητον [τῶν] τε ε...ο[..||ό]ντων καὶ πολεμίων ἐ[γβολῆ]ς καὶ φιλίο|υ στρατοπέδου καὶ τελῶ[ν κ]αὶ [ε]ἰσφορᾶς | καὶ τῶν ἄλλων ἁπάντων· ἐπ[ι]σκ[ε]υάζειν δ|ὲ τὴν οἰκίαν Διόδωρον ....σμεν. .ε.ε|... τὰς ἀμπέλους ..ν...νε..κ..σι.ν || .ειναι τοῖς φρατριάρ[χοις], κα[ὶ σ]κ[ά]ψει | [τ]ὰς ἀμπέλους δὶς κα[τὰ πᾶ]σ[αν] τ[ὴ]ν ὥ[ρα]ν· σ|[π]ερεῖ δὲ τῆς γῆς σίτωι τ[ὴ]ν ἡμίσειαν, τῆ|ς δὲ ἀργοῦ ὀσπρεύσει ὁπό[ση]ν ἂν βούλητ|αι· ἐργάσεται δὲ καὶ τἄλ[λα δ]έν-[δρ]α τὰ ἥμ||[ερ]α· ἀποδιδόναι δὲ τῆ[ς] μ[ι]σθώσεως τὴν μ|[ὲ]ν ἡμίσειαν μηνὸς Βοηδρομιῶνος ἕνηι, | τὴν δ' ἡμίσειαν μηνὸς Ἐλαφηβολιῶνος [ἕ νηι] τοῖς φρατριάρχοι[ς] Δυαλέων τοῖς [ἀ|ε]ὶ φρατριαρχοῦσιν· ἄ[ρ]χει τῆς μισθώσε|ως ὁ ἐπὶ Ἡγεμάχου Μουνιχιών· μὴ ἐξεῖνα|ι δὲ Διοδώρωι κόψαι τῶν δένδρων τῶν ἐ[κ] | τοῦ χωρίου μηθὲν μηδὲ τὴν οἰκίαν καθ[ε]λεῖν· ἐὰν δὲ μὴ ἀποδιδῶι τὴν μίσθωσιν ἐ[ν] τοῖς χρόνοις τοῖς γεγραμμένοις ἢ μὴ [ἐ]ργάζηται τὸ χωρίον κατὰ τὰ γεγραμμέ|[ν]α, ἐξεῖναι τοῖς φρατριάρχοις καὶ Δυα|[λεῦ]σιν ἐνεχυράζειν πρὸ δίκης καὶ μισ|θῶσαι ἑτέρωι τὸ χωρίον ὧι ἂν βούλ[ω]νται [ι, κ]αὶ ὑπόδικος ἔστω Διόδωρος ἐάν τι π[ρ]οσ[οφείλει τῆς μισθώσεως ἢ καθέλε[ι] τ[ι | τ]ῆς οἰκίας ἢ κόψει τι τῶν ἐκ τοῦ χωρίου· | [ἐὰ]ν δὲ βούληται ἐν τοῖς δέκα ἔτεσιν Διόδω|[ρ]ος ἢ οἱ κληρονόμοι αὐτοῦ, καταβαλόντ|[ων] Δυαλεῦσιν Ρ̅ δραχμάς, καὶ ἐάν [τινα] μί|σθωσιν προσοφείλωσιν, ἀποδ[ό]σθ[ω]σ[α]ν α|[ὐ]τοῖς οἱ φρατρίαρχοι καὶ Δυαλεῖς τὸ χ|[ωρί]ον κομισάμενοι τὸ ἀργύριον· ἐὰν δ[ὲ | μὴ] καταβάλωσιν

τὰς 𐅄 καὶ ἐάν τι προσ|ο|φ|είλωσιν τῆς μισθώσεως ἐν τοῖς δέκα ἔ|τεσιν, μὴ εἶναι Διοδώρωι μηδὲ τῶν Διοδ|ώρου μηθενὶ συνβόλαιον πρὸς τὸ χωρ[ί]ο|ν τοῦτο μηθὲν καὶ μισθωσά<ν>τωσαν Δυαλ|εῖς ὧι ἂν βούλωνται τοῦ πλείστου. Ἀναγ|ράψαι δὲ τὴν μίσθωσιν ταύτην ἐν στήλε||ι λιθίνει τοὺς φρατριάρχους καὶ στ[ῆσ|αι] ἐπὶ τὸ χωρίο[ν]. —

1358. Élide. (Fin du v^e s. av. J.-C.) — Plaque de bronze trouvée à Olympie.— Kirchhoff, *Arch. Zeit.*, 1879, p. 158. — Rœhl, I.G.A., 121 (*Imag.*, 2^e éd., p. 42, n° 19). — Cauer, 263. — Blass, *Samml. Griech. Dial.-Inschr.*, 1168. — Roberts, 300 (cf. p. 373). — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, II, p. 256.— Dittenberger et Purgold, *Inschr. von Olympia*, 18. — Cf. Comparetti, *Journ. of Hell. Stud.*, II (1881), p. 375.

Συνθêνα[ι] Θέρον[ι κ]|αἰχμάνορι παρ τâρ | γâρ τâρ ἐν Σαλαμό|ναι, πλέθρον ὀπτὸ καὶ || δέκα. Φάρεν κριθâν μα|νασίος δύο καὶ Ϝίκατι Ἀλ|φιόιο μενόρ· αἰ δὲ λίποι, λυ|σάστο τô διφυίο. Πεπάστο | τὸν πάντα χρόνον. —

1359. Chios. (Milieu du iv^e s. av. J.-C.) — Pierre noire inscrite de deux côtés, encastrée dans le mur d'une église en ruines à Mavro Campo (Chios). Actuellement au gymnase de Chio. Στοιχηδόν. — Haussoullier, *Bull. de Corr. Hell.*, III (1879), p. 242 s. — Cf. Euler, *De locatione*, p. 30 s. — Nous avons supprimé la fin de *A* et tout le côté *B* dont il ne reste que des débris.

A. ------ιδ|...... ἑκκαιδέκα μν[ῶν ἄξια κ]αταθῆτα|[ι· ἀνεί]λετο Ἀναξίδημος Ἡραγόρου· ἐγγυ|[ηταί, Ε]ὔβουλος Δημοκρίτου, Ἀναγόρας Ἡ||[ραγόρ]ου· ἐνηλάσιον, τετρακόσιαι εἴκο|[σι δρα]χμαί. Ἀναξίδημος Ἡραγόρου Κλυτ|[ίδαις κ]αὶ Κλυτιδέων τῶι ἄρχοντι Ἀργέ|[αι Ἀρισ]τομήδους· ἡ γῆ ἡ ἐν Δελφινίωι ἡ τ|[είως Κ]αυκασίωνος τοῦ Βασιλεΐδου, καὶ | [τὰ ἐπό]μενα τῆι γῆι πάντα ἐστὶν ἐμὰ καὶ | [ἡ οἰκίη] ἡ ἐν Ἀνδίνηι ἣν οἱ ὁρισταὶ ὥρι[σ|αν Κλυ]τιδῶν εἶναι καὶ ἣν Λεώφρων ὁ Δε[.|.... ἐδ]ίκασεν ἑκατοστηρίην εἶναι· ἔσ[τιν δὲ ἡ] ἀξίη πεντακισχιλίων στατήρω||[ν, ἀποδι]δόντος ἐμοῦ Κλυτίδαις ἔτεος ἑ[κάστου] τριάκοντα τάλαντα ξύλων ἐν [τῶ|ι .....]τωι ἄλσει κείμενα, ὅταν ἡ ἀγὴ ἦ[ι | καὶ τετ]ρακοσίας εἴκοσι δραχμὰς ἐμ μ[η|νὶ Ἀρτε]μισιῶνι, τὸμ πρῶτον δασμὸν ἅμα || [πρώτωι] ἔτει μετὰ Ἄλσωνα πρύτανιν καὶ | [τοὺς ἄλ]λους ἅμα ἐνιαυτῶι ἕκαστον κατ[ὰ τὴν στ]ήλην τὴγ κειμένην ἐν Ἀκταῖς ἐν | [τῶι ἱερ]ῶι. Ἐπέτρεψαν Ἀριστομένει Τηλ|[.....ο]υ· κατεδίκασεν. Ὁμολογοῦσιν ἑπ'||[τακαι]δεκάτηι Λευκαθεῶνος τὰ γράμμα|[τα τὰ τῶ]ν συναγωγῶν Ἡρόκριτος Θεοδώρ|[ου, Πολ]ύξενος Κτησίωνος, Ἀριστόμαχος | .....δοντος. — | [Ἐγδίδο]μεν

τὴγ γῆν τὴν Κλυτιδέων τὴμ π||[ατρώι]ην, αἴδασμον, αὐτὴγ καὶ τὰ ἑπόμεν|[α τῆι γῆ]ι πάντα, καὶ τῆς ἑκατοστηρίης τ|[ὰ δύο, ἀρ]ιστερὰ τῆς ὁδοῦ τῆς εἰς Ἀκτὰς φ[ερούση]ς ἀπὸ τῶν Καοκασίωνος τοῦ Ἑρμη|σίλεω ἕω]ς τῆς ὁδοῦ τῆς εἰς Πάρβαντα φε||[ρούσης, πλ]ὴν τῆς Λαγοείης. Προσεγδίδο|[μεν δὲ καὶ τ]ὸ ἕλος καὶ τὴν λίμνην τὰ ἐμ Π|[άρβαντι. Ὁ ἀνε]λόμενος τὴγ γῆν τὸ ἐνηλά|[σιον ἀποδώσε]ι ἐμ μηνὶ Ἀρτεμισιῶνι τῶ|[ι μετὰ . . . . . .]ην πρύτανιν καὶ τῶν ἄλλω||[ν ἕκαστον ἅμ᾽ ἐ]νιαυτῶι· ὑπὸ λόγον οὐδέν|[α οὔτ᾽ οὐδενός], οὔτε πολέμου, οὔτ᾽ εἰρήνη|[ς τὴν ἔκλυσι]ν οὐκ ἐρεῖ πρότερον ἢ ἔργα | [ἄξια ἑκκαίδ]εκα μνῶν καταθῆται εἰς φυ|[τείαν καὶ οἰ]κοδομίαν· ἐπιγνώμονας δὲ || [τῶν μὲν ἀναλ]ωθέντων εἶναι Κλυτίδας τ|[ῶν δ᾽ ἔργων τὴν] πόλιν καὶ τὴν οἴην· τελεῖ | [πάντα ὁ ἀνελό]μενος ὑπὲρ τῶν ἐγδόντων | [καὶ ἐκ τοῦ ἐνηλ]ασίου τὴν ἑκατοστηρίη|[ν· οὐκ ἔξεστι οὔτ]ε νέμειν οὔτε ὅσα νομο|- - - - - - - -

1360. Gambréion. **Bail emphytéotique.** (326/5 av. J.-C.)

Pierre trouvée à Gambréion (Mysie). — C.I.G., 3561. — Papadopoulos-Kérameus, *Bull. de Corr. Hell.*, I (1877), p. 54. — Dittenberger, 114 (2e éd., 155). — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, I, p. 257 s. — Cf. Guiraud, *Propriété foncière en Grèce*, p. 427 s.

Θεός. Τύχη ἀγαθή. | Βασιλεύοντος Ἀλ|εξάνδρου, ἔτει ἐν|δεκάτωι, Μενάνδ||[ρ]ου σατραπεύοντο|ς, ἐπὶ πρυτάνιος Ἰσ|αγόρου. Κ[ρ]ατεύας ἔ|δωκεν Ἀριστομέν|ει γῆ[ν ψ]ι[λ]ὴν ἀγρὸν || ἐποικίσαι πρὸς τῶι | φυτῶι ἐπὶ Κρατεύ|α φυτευθέντι. Ὁ δὲ πε|ρίβολός ἐστιν τῆς γ|ῆς σπόρου κύπρων ἑκ||ατὸν ἑβδομήκοντα | καὶ οἰκόπεδα καὶ κῆπ|ος. Φόρος δὲ τοῦ κήπο|υ χρυσοῦς ἕκα[σ]το|ν ἐνιαυτόν.

La copie dont s'est servi M. Papadopoulos porte, l. 9, ΓΗΙΥΙΑΗΝΑΓΡΟΝ.

1361. Thasos. **Contrat de louage de service.** (ive s. av. J.-C.)

Marbre trouvé à Thasos actuellement perdu. — Bergmann, *Hermes*, III (1868), p. 237. — Cauer, 527. — Bechtel, *Inchr. d. Ion. Dial.*, 71. — Hoffmann, *Griech. Dial.*, III, p. 35, n° 71. — Cf. Dareste, Haussoullier, Reinach, *op. cit.*, I, p. 256.

Ἐπὶ Λυσιστράτου [τοῦ Α]ἴσχρωνος ἄρχο[ντος· - - - -. | Ἐπὶ τοῖσδε ἐκδέδοται [κῆπος] Ἡρακλέος ὁ πρὸς [τῶι ᾽χωρίωι τοῦ Ἀσκληπιοῦ· Ὁ ἀνα]|ραιρημένος τὸν κῆ[πον τὸ χωρ]ίον καθαρὸν παρέξει - - - - - - | πύλας, ὅπου ἡ κόπρος [ἐξεβάλ]λετο· ἢν δέ τις ἐγβάλλη[ι τῶν δούλων κόπρον, ὥστε] τὸ χωρίον εἶναι τὸ ἄγγος τοῦ ἀναιρερημένου τὸν κῆπο[ν, τοῦτον μὲν τὸν ληφθέντα] |

δοῦλον μαστιγώσαντα ἀθῶιον εἶναι. Ὅπως δὲ τὸ χωρίον καθ[α-ρὸν] | παρέχηι, ἐπιμέλεσθαι τὸν ἀγορηνόμον καὶ τὸν ἱερέα τοῦ Ἀσκληπιοῦ τοὺς ἑκάστοτε ἐόντας· ἢν δὲ μὴ ἐπιμέλωνται, | ὀφείλεν αὐτοὺς τῆς ἡμέρης ἑκάστης ἡμίεκτον ἱρὸν τῶι || Ἀσκλη-πιῶι· δικάζεσθαι δὲ τοὺς ἀπολόγους ἢ αὐτοὺς ὀφείλεν· | τὸν δὲ ἀναιρερημένον τῶι ἱρεῖ καὶ τῶι ἀγορηνόμωι ὀφείλεν | τῆς ἡμέρης.

1362. ORCHOMÈNE. **Contrat de prêt**. (FIN DU III^e^ S. AV. J.-C.)

Stèle de marbre blanc brisée en bas. Trouvée à Scripou, actuellement au British Museum. — C.I.G., 1569^a^. — Lebas-Foucart, 628^a^. — Cauer, 298. — Larfeld, *Syll. Inscr. Boeot.*, 33. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 489. — Newton, *Greek Inscr. in the Br. Mus.*, 158. — C.I.G.S., I, 3171. — Dareste, Haussoullier, Reinach, *op. cit.*, XIV^ter^ (I, p. 305 s.). — Cf. Billeter, *Geschichte des Zinsfusses*, p. 72 s. — Nous avons transcrit les chiffres béotiens en chiffres attiques.

A. Θυνάρχω ἄρχοντος· μεινὸς Θ[ει]|λουθίω. Ἀγχίαρος Εὐμείλω ταμί|ας Εὐβώλυ Ἀρχεδάμω Φωκεῖι χρέ|ος ἀπέδωκα ἀπὸ τᾶς σουγγράφω || πεδὰ τῶν πολεμάρχων κὴ τῶν κατοπτάων, ἀνελό-μενος τὰς | σουγγράφως τὰς κιμένας παρ Εὔ|φρονα κὴ Φιδίαν κὴ Πασικλεῖν | κὴ Τιμόμειλον Φωκεῖας κὴ Δαμο τέλειν Λυσιδάμω κὴ Διωνύσιον | Καφισοδώρω Χηρωνεῖα κατ τὸ ψά|φισμα τῶ δάμω Μ𐅇ΧΗ𐅅Δ⊢⊢⊢. |

B. Θυνάρχω ἄρχοντος· μεινὸς Ἀλαλ|κομενίω. Ϝάρνων Πολυ-κλεῖος || ταμίας ἀπέδωκε Εὐβώλυ Ἀρχε|δάμω Φωκεῖι ἀπὸ τᾶς σουγγά|φω τὸ κατάλυπον κατ τὸ ψάφισμα | τῶ δάμω, ἀνελόμε-νος τὰς σουγ|γράφως τὰς κιμένας παρ Σώ|ρι|λον κὴ Εὔφρονα Φωκεῖας κὴ παρ | Διωνύσιον Καφισοδώρω Χηρωνεῖ|α κὴ Λυσί-δαμον Δαμοτέλιος, πε|δὰ τῶν πολεμάρχων κὴ τῶν κατο|πτάων 𐅇𐅆ΗΗΗΔΔ⊢⊢⊢ΙC. ||

Ἄρχοντος ἐν Ἐρχομενῦ Θυνάρχω, μει|νὸς Ἀλαλκομενίω· ἐν δὲ Ϝελατίη Με|νοίταο Ἀρχελάω, μεινὸς Πράτω. Ὁμο|λογὰ Εὐβώλυ Ϝελατιήυ κὴ τῆ πόλι Ἐρ|χομενίων· ἐπιδεὶ κεκόμιστη Εὔβω||λος παρ τᾶς πόλιος τὸ δάνειον ἅπαν | κατ τὰς ὁμολογίας τὰς τεθείσας Θυ|νάρχω ἄρχοντος μεινὸς Θειλουθίω, | κὴ οὔτ' ὀφείλετη αὐτῦ ἔτι οὐθὲν παρ τὰν | πόλιν, ἀλλ' ἀπέχι πάντα περὶ παντός, || κὴ ἀποδεδόανθι τῆ πόλι τὺ ἔχοντες | τὰς ὁμολογίας· εἶμεν ποτιδεδο-μέ|νον χρόνον Εὐβώλυ ἐπινομίας Ϝέτια | πέτταρα βούεσσι σοὺν ἵππυς διακα|τίης Ϝίκατι, προβάτυς σοὺν ἤγυς χει||λίης. Ἄρχι τῶ χρόνω ὁ ἐνιαυτὸς ὁ μετὰ | Θύναρχον ἄρχοντα Ἐρχομενίυς. Ἀπ[ο]||γράφεσθη δὲ Εὔβωλον κατ ἐνιαυτὸν | ἕκαστον παρ τὸν

ταμίαν κὴ τὸν νομώ|ναν τά τε καύματα τῶν προβάτων κὴ || τᾶν ἠγῶν κὴ τᾶν βουῶν κὴ τᾶν ἵππων κὴ | κά τινα ἄσαμα ἴωνθι κὴ τὸ πλεῖθος· μεὶ | ἀπογραφέσθω δὲ πλίονα τῶν γεγραμ|μένων ἐν τῆ σουγχωρείσι. Ἠ δέ κά τις [πράττει]τη τὸ ἐννόμιον Εὔβωλον, ὀφειλέτ[ω ἁ πό]λις τῶν Ἐρχομενίων ἀργουρίω | [μνᾶς] πετταράκοντα Εὐβώλυ καθ᾽ ἕκα|[στον ἐ]νιαυτὸν κὴ τόκον φερέτω δρα(χμὰς) III | [ἀπὸ] τᾶς μνᾶς ἑκάστας κατὰ μεῖνα | [ἕκασ]τον, κὴ ἔμπρακτος ἔστω Εὐβώ[λυ || ἁ πόλις] τῶν Ἐρχομενίων - - - -

1363. DRYMAEA [Phocide]. **Emprunt fait par la ville à la confédération des Œtéens.** (VERS 165 AV. J.-C.)

Marbre bleuâtre encastré dans l'église de Glounista (Phocide). Le texte est disposé en deux colonnes (I, II). — Mondry Beaudoin, *Bull. de Corr. Hell.*, V (1881), p. 137 s. — Cauer, 385. — Bechtel, *Samml. Griech. Dial.-Inschr.*, 1529. — C.I.G.S., III, 226-230. — Cf. Szanto, *Wiener Stud.*, VIII (1886), p. 7 s.

I. ... εἰ δέ κα | μὴ] διοικῆ ἁ πόλις τῶν Δρυμίων τὰς | [καταβολ]ὰς πάσας, καθὼς [ἐ]πρ[ε]σβεύσα[ντο | καὶ] συ[νεχ]ωρήθη αὐτοῖς κατὰ νόμον ἕ[στων ἐπὶ τὸ] δάνειον τὸ ἐξ ἀρχᾶς πᾶν τῶι θεῶι καὶ | [τοῖς] Οἰταίοις καὶ Αἰ(τω)|λ]οῖς αἱ οἰκονομίαι αἱ κατὰ τᾶς πόλιος τῶν Δρυμίων· εἰ δέ κα διοικήσῃ ἁ πό|[λις] τῶν Δρυμίων τὰς ἐνήκοντα μνᾶς, κα|[θ]ὼς ἐν τᾶι ὁμολογίαι γέγραπται, τῶι θεῶι καὶ | [τ]οῖς Οἰταίοις, ἀπολελυμένα ἔστω || [το]ῦ δανείου παντὸς καὶ ἁ συγγραφὰ ἀτε|[λ]ὴς καὶ ἀρμένα ἔστω. Τὰν ὁμολογίαν | [φ]υλάσσοντι Κλεότιμος, Λόχαγος Καλλιπο|[λῖται], Λαιάδας Ἀμφισσεύς. Ἐξετείσαντο. | [Μά]ρτ[υ]ροι· [Ε]ὐρύδαμος, Νέταλος, Λεοντο|[μ]ένης Καλλιπολῖται, Καλλίστρατος Φυ|[σ]κεύς, Ἀνδρόβολος Κυτενιεύς, Ὀξύμαχος, | [Σ]ώπατρος Ἐρυθραῖοι, Θράσων, Καλλείδας, | [Φ]ιλόνικος Ὑαμπόλιοι, Ζεῦξις, Τείσιππος Ἐ|[λ]ατεῖς, Πολύξενος, Ἀριστοτέλης Τειθρώ[ν]ιοι, Πατροκλέας, Τιμοκράτης, Ξενοκρά|[τ]ης, Ἀριστίων Λιλαιεῖς. — |

[Β]ουλαρχεόντων ἐν Οἴται Ἀντάνορος Ἡρα|[κ]λειώτα, Φαικία Ἀντικυρίτα, Ἀριστίωνος | [Ὁ]μιλιάδα, ἱεροθυτᾶν δὲ Εὐθύφρονος Ἡρα|[κ]λειώτα, Ἀλέξιος Ἀντικυρίτα, Βομβύλου | [Ἀμ]φανίου, Μενεκράτεος Ὀλεαίου, μηνὸς | [Ἀ]πελλαίου· τῶν δὲ Φωκέων στραταγέον[τ]ος Κάφιος Φανοτέος, μηνὸς πρώτου, διοίκη|[σαν τ]ὰν δευτέραν κα[ταβολὰν ......]

II. [--τὰν καταβ]ο[λὰν] τὰ[ν] τρίταν πυλαίας | [ὀπωριν]ᾶς τᾶς μετὰ τὰν βουλαρχίαν Τ... | ...τοῦ Ἀνταγόρα, τὰν δὲ ἐσχάταν ἐν τῶι | [ἐχομένωι ἐνι]αυτῶι, μετὰ τὰν τρίταν κα|ταβολὰν διοικ[ήσει] ἐν πυλαία[ι .]ε...|..ας. Μ[άρτ]υροι· Ἀριστόδαμος,

Θ.....|εῖοι, Ἄλκιμος, Ἀρισταγόρας, ... | Ναυπά[κ]τιοι, Μένιππος Ἀκραῖο[ς]. | Βουλαρ[χεό]ντων ἐν Οἴται Εὐθύ[φρονος] || Ἡρακλειώτα, ..φάνεος Δρυοπαίο[υ], | Κρινο[λά]ου [Ὁμ]ιλιά[δα], ἱερο[θυ]τᾶν δὲ Λα... | Ἡρακλειώτα, [Ἀ]ριστίωνος Χαρα[δραί]ου, | Λυσ....ου ....τίδα, μηνὸς Ἀπ[ε]λλαίο[υ]· | τῶν [δὲ Φ]ωκέων στρα[τα]γέοντος Τεισά[ν]δ[ρου [Ἐ]λ[ατέ]ος, [μ]η[νὸς] πρώτου· κατέβαλον | οἱ Δρύμι[οι τ]ὰν τρίταν καταβολὰν τῶι θε[ῶι] | καὶ το[ῖς Οἰτ]αίο[ις] ἐν Ἡρακλείαι Ἡρακλεί[οις | Μά]ρτυρο[ι· ......]δαμος, ..ν.ος Καλυδώνι[οι, | .....]τας, Εὐπόλεμος Ἀλ[α]ῖοι, Μίκκος || Ἀμφισσεύς. — |

Βουλαρχεόντων ἐν Οἴται [Σ]ωτήρου Ἡρακλ|[ει]ώτα, Εὐαγόρου Δρυοπαίου, Θεοδώρου Κο[λ|ακ]έος, ἱεροθυτᾶν δὲ Ἀρχίνου Ἡρακλε|ιώτα, ...έλεος Δρυοπαίου, Τιμοκρίτου || [Ὁμιλιάδ]α, μηνὸς Ἀπελλαίου· τῶν δὲ Φωκ|έων στραταγέοντος Καλλικράτεος Ἐλ|[α]τ[έ]ος, μηνὸς πρώτου. Ἐν πυλαίαι ἐν τῶ[ι | συνεδ]ρίωι ὡμολόγεον ἀπέχειν οἱ Οἰταῖ[οι | Δρυμί]οις ἐ[ξαλείψαν]τες τὰ [κοι]νὰ τοῦ θεο[ῦ ---

1364-82. Bornes hypothécaires.

1364. Athènes. *Hypothèque de mineur.* (IVe s. av. J.-C.) — Pierre trouvée dans la Mésogée, actuellement au musée d'Athènes. — Wescher, *Rev. Arch.*, 1867, I, p. 37. — C.I.A., 1106. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, VIII, 1 (I, p. 108).

Ὅρος | χωρίο ἀποτι|μήματος Θε|αιτήτο παιδὶ || Κηφισοφῶντι | Ἐπικηφισίο.

1365. Athènes. *Hypothèque de mineurs.* (302/1 av. J.-C.) — Stèle de marbre pentélique trouvée à Acharnes, actuellement au musée d'Athènes. Στοιχηδόν. — C.I.A., 1138. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 5. — Cf. Schulthess, *Vormundschaft nach attischem Recht*, Fribourg, 1886, p. 164 s.

Ἐ]πὶ Νικοκλέου|ς ἄρχοντος. Ὅρο [ς] χωρίων καὶ οἰ|[κ]ίας καὶ τοῦ ὕδα||[τ]ος τοῦ προσόν|[τ]ος τοῖς χωρίοι|[ς κ]λήρων δυεῖν | [ἀπ]οτετιμημέν|[ων π]αισὶν ὀρφα||[νοῖ]ς τοῖς Χαρί|[ου ἰ]σοτελοῦς Χ|[αιρ]ίππωι καὶ Χ|[αρί]αι. —

1366. Athènes. *Hypothèque dotale.* (IVe s. av. J.-C.) — Stèle de marbre pentélique trouvée à Amarousi. — Antoniadis, Ἐφημ. Ἀρχ., 1883, p. 67. — C.I.A., 1113. — Szanto, *Rhein. Mus.*, XL (1885), p. 516. — Dareste, Haussoullier,

Reinach, *op. cit.*, VIII, 10. — Cf. Guiraud, *La propriété foncière en Grèce*, p. 290. — Hitzig, *Das griechische Pfandrecht*, p. 123 s. — Larfeld, *Handb. d. griech. Epigr.*, II, p. 188.

῞Ορος χωρίο προικὸς | Ἱπποκλείαι Δημοχά||[ρ]ος Λευκονοιῶς Τ· | [῞Οσ]ωι πλείονος ἄξι||[ον], Κεκροπίδαις [ὑ|πό]κειται καὶ Λυκ[ο|μί]δαις καὶ Φλυεῦ[σι.— |

1367. Athènes. *Hypothèque dotale.* (305/4 av. J.-C.) — Stèle trouvée à Spata. — Kœhler, *Athen. Mitth.*, II (1877), p. 278. — Dareste, *Bull. de Corr. Hell.*, II (1878), p. 485 s. — Dittenberger, 435. — C.I.A., II, 1137. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 17 (cf. I, p. 134 s.). — Cf. Guiraud, *Propriété foncière en Grèce*, p. 290. — Larfeld, *Handb. d. griech. Epigr.*, II, p. 189.

Ἐπὶ Εὐξενίπ(π)ου ἄρ|χ]|οντος. ῞Ορος χωρίων | καὶ οἰκιῶν ἀποτιμη|μάτων προικὸς Ξεναρ||[ί]στει Πυθοδώρου Γαρ|γηττίου θυγατρὶ τ|[ὸ] κατὰ τὸ ἥμυσυ καὶ τ[ὸ] | ἐκ τούτου γιγνόμεν|ον αὐτεῖ εἰς Λεώσ||τρατον ἄρχοντα | XXΗΗΗ[ΔΔ]Ͱ.

1368. Athènes. *Hypothèque dotale.* (ive s. av. J.-C.) — Stèle en marbre de l'Hymette trouvée au Pirée, actuellement au musée d'Athènes. — Koumanoudis, Ἀθήναιον, IV (1875), p. 217. — Dittenberger, 434. — C.I.A., 1124. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 12.

῞Ορ]ος οἰκίας | ἐν προικὶ ἀπο|τετιμημέ|νης ⁝ HHH ⁝ || Ἁγνοκλείαι. | —

1369. Athènes. *Hypothèque dotale.* (ive s. av. J.-C.) — Stèle actuellement au musée d'Athènes. — Ziebarth, *Sitzungsb. der Berl. Akad.*, 1897, p. 665, n° 3.

῞Ο]ρος οἰκία|[ς] πεπραμέν|[η]ς ἐπὶ λύσει — | [Μα]λθάκηι τῆι || [Λεω]στράτου | [θυγα]τρὶ Ἀλωπε|[κῆθε]ν προικὸς --H.

1370. Amorgos. *Hypothèque dotale.* (ier s. av. J.-C.) — Stèle de marbre blanc provenant d'Arcésiné, actuellement au musée d'Athènes. — Ross, *Inscr. Gr. Ined.*, 126. — Dittenberger, 437. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 24. — Ziebarth, *Sitzungsb. d. Berl. Akad.*, 1897, p. 673.

῞Ορος οἰκιῶν καὶ κήπων τῶν πρ]|ὸς ταῖς οἰκίαις τῶν ἀποτετι|μημένων Νικησαρέτηι εἰς τὴ|ν προῖκα, καθιερωμένων καὶ ἀ||νακειμένων τῆι Οὐρανίαι Ἀ|φροδίτει τῆι ἐν Ἀσπίδι ὑπὸ Νι|κησαρέτης τῆς γυναικὸς <τ> | τῆς Ναυκράτους καὶ κυρίου | Ναυκράτους καὶ κατὰ τὰς δι||αθήκας τὰς κειμένας ἐν τῶι | ἱερῶι τῆς Ἀφροδίτης καὶ παρ' Ε|ὐνομίδει τῶι ἄρχοντι καὶ π|αρὰ τῶι θεσμοθέτει Κτησι φῶντι.

1371. Athènes. *Vente à réméré.* (ive s. av. J.-C.) — Stèle trouvée à Marcopoulo. Στοιχηδόν. — Koumanoudis, Ἀθήναιον, IV (1875), p. 122. — C.I.A., II, 1103. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 25.

h῞Ορος χωρίο | πεπραμένο | ἐπὶ λύσει : X | —

1372. Athènes. *Vente à réméré.* (ive s. av. J.-C.) — Stèle trouvée à Éleusis. — Philios, Ἐφημ. Ἀρχ., 1883, p. 147. — Hitzig, *Das griech. Pfandrecht*, p. 68. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 25*bis* (I, p. 502). — Cf. Ziebarth, *Sitzungsber. d. Berl. Akad.*, 1897, p. 672.

Ὅρος χω|ρίο πεπρ|αμένο ἐπ|ὶ λύσει πα||ιδὶ Καλλισ|τράτο — | — Η.

1373. Athènes. *Vente à réméré.* (ive s. av. J.-C.) — Stèle de marbre trouvée au Laurium. — C.I.A., II, 1122. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 41. — Cf. Ardaillon, *Les mines du Laurium*, p. 102 s. — Ziebarth, *Sitzungsb. d. Berl. Akad.*, 1897, p. 670.

Θεοί. | Ὅρος ἐργασ|τηρίου καὶ ἀν|δραπόδων πε|πραμένων ἐπὶ | λύσει Φείδων|ι Αἰξωνεῖ ⁝ Τ.

1374. Athènes. *Vente à réméré.* (ive s. av. J.-C.) — Stèle de marbre pentélique trouvée à Spata. — Milchhœfer, *Athen. Mitth.*, XII (1887), p. 88. — Dareste, *Bull. de Corr. Hell.*, XII (1888), p. 303 (trad.). — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 50. — C.I.A., IV, 2, 1139b (p. 246). — Cf. Wilhelm, *Arch.-ep. Mitth. aus Œ.-U.*, XVII (1894), p. 46. — Hitzig, *Griech. Pfandrecht*, p. 123 s.

Ὅρος χωρίου καὶ οἰκ|ίας πεπραμένου ἐπ|ὶ λύσει Ἱερομν|ήμονι Ἁλαεῖ || 𐅄 κατὰ τὰς συνθ|ήκας τὰς παρὰ Λυσι|στράτωι κειμένα|ς| καὶ Δεκαδισταῖς Η ΔΔΔ καὶ ἀποτίμημ|α ἐρανισταῖς τοῖ[ς] | μετὰ Θεοπείθους | Ἰκαριῶς. —

1375. Lemnos. *Vente à réméré.* (ive s. av. J.-C.) — Stèle trouvée à Moudros (Lemnos). — Cousin et Dürrbach, *Bull. de Corr. Hell.*, IX (1885), p. 64. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 59.

h]Ὅρος | [χ]ωρίο | [π]επραμ|ένο ἐπὶ λ||ύσει Ὀργ||[ε]ῶσι ΗΗΗΗ.

1376. Athènes. *Vente simple. Privilège de vendeur.* (ive s. av. J.-C.) — Lebas, *Attique*, 280. — Foucart, *Associations religieuses*, no 36 (p. 219). — C.I.A., II, 1110. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 60. — Cf. Ziebarth, *Sitzungsber. d. Berl. Akad.*, 1897, p. 672.

Ὅρος χωρίο πε|πραμένο ἐρα|νισταῖς τοῖς μετὰ Καλλ[ι]||τέλος ΗΗ|ΗΗΔΔ.

1377. *Vente simple. Privilège de vendeur.* (313/2 av. J.-C.) — Trouvé à Acharnes. — C.I.G., 530. — C.I.A., II, 1134. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 61. — Cf. Hitzig, *Griech. Pfandrecht*, p. 37 s.

Ἐπὶ Θεοφράστου | ἄρχοντος. [Ὅ]ρος | χωρίου τιμῆς | ἐνοφειλομέν||ης Φανοστράτωι | Παιαν(ιεῖ) ΧΧ.

1378. Athènes. *Antichrèse.* (iv^e s. av. J.-C.) — Stèle de marbre pentélique trouvée à Athènes. — C.I.A., II, 1139. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 62. — Cf. Szanto, *Wien. Stud.*, IX (1887), p. 283. — Hitzig, *Griech. Pfandrecht*, p. 9. — Ziebarth, *Sitzungsb. d. Berl. Akad.*, 1897, p. 670.

Ὅρος χωρίου καὶ οἰκίας | ὑποκειμένων 𐅅ΗΗΗ | δραχ(μῶν) : ὥστε ἔχειν καὶ κρα|τεῖν [τ]ὸν θέμενον κατὰ || συνθήκας τὰς κειμένας | παρὰ Δεινίαι Εὐωνυμεῖ.

1379. Athènes. *Hypothèques conventionnelles* (iv^e s. av. J.-C.) — Gravés sur le mur d'une maison ancienne, au S.-E. de la Pnyx. — Lolling, Δελτίον, 1892, p. 3. — Hitzig, *Griech. Pfandrecht*, p. 10 (cf. p. 68). — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 69 et 70 (I, p. 502). — C.I.A., IV, 2, 1116 b, c (p. 245). — Cf. Ziebarth, *Sitzungsb. d. Berl. Akad.*, 1897, p. 670.

A. Ὅρος οἰκίας ὑπο|κειμένης Χ- - -|- - - - - -|- - - - - - || Περιάνδρωι Χολαρ(γεῖ).

B. Ὅρος οἰκίας | ὑποκειμένης | Ἁλαιεῦσι : ΗΗ.

1380. Amorgos. *Hypothèque conventionnelle.* (iii^e s. av. J.-C.) — Stèle de marbre blanc trouvée à Amorgos, actuellement au musée d'Athènes. — [Koumanoudis, Ἐφημ. Ἀρχ., 1862, n° 77.] — Foucart, *Associations religieuses*, n° 45, p. 226. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 64 (cf. I, 503). — Ziebarth, *Sitzungsb. d. Berl. Akad.*, 1897, p. 674. — Cf. Keil, *Die Solonische Verfassung*, Berlin, 1892, p. 59.

Ὅρος χωρίων [τῶν ἐν - - -]|ρει καὶ οἰκίας καὶ κ[ήπου] | τῶν Ξενοκλέος τῶ[ν κει]|μένων ἐμ Φυλινχείαι, καὶ τῶ[ν || ἐ]πικυρβίων ἐνεχύρων, ὑποκει|μένων συνεπιχωρούσης τῆς | γυναικὸς Ἐρατοκράτης καὶ τοῦ | κυρίου Βρουκίωνος τῶ[ι] ἐράνω[ι] | καὶ Ἀρισταγόραι τῶι ἀρχεράνω[ι] || καὶ τῆι γυναικὶ αὐτοῦ Ἐχε[νίκηι] | πρὸς τὴν ἐγγύαν ἣν ἐγρ[άψα]|το Ξενοκλῆν τοῦ ἐρά[νου, ὃν] | συνέλεξεν Ἀρισταγόρα[ς - - | κα]τὰ τὸν νόμον τῶν [ἐρα||νισ]τῶν. —

1381. Athènes. *Dotalité.* (iv^e s. av. J.-C.) — Cippe trouvé au N. de la ville. — Ross, *Demen von Attika*, p. 61. — Rangabé, *Ant. Hell.*, 886. — C.I.A., II, 1109. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 67.

h'Ορος οἰκία|ς καὶ χωρίο Τιμ|οστράτης Ἀνακ|αίαθεν τῆς Βό||ωνος ἀδελφῆς | Ἀνακαιῶς, μητρὸ|[ς δὲ - - -] Κηφι|[σιέως.

1382. Syros. *Dotalité.* (iii^e s. av. J.-C.) — Stèle trouvée à Ano Syros. — Ross, *Inscr. Gr. Ined.*, 108. — C.I.G., 2347 i (II, p. 1059). — Lebas-Foucart, 1894. — Stephanos, Ἀθήναιον, IV (1875), p. 3. — Dittenberger, 436. — Dareste, Haussoullier, Reinach, *op. cit.*, VIII, 68 (cf. I, p. 503).

Ἡγησοῦς | τῆς Κλεομ όρτου θυγατρὸ[ς] | προὶξ τὸ χωρί||[ο]ν.

1383. Chios. **Vente des biens des enfants d'Annikéas.**
(v^e s. av. J.-C.)

Marbre blanc brisé en haut, inscrit des quatre côtés (*A-D*). Actuellement au gymnase de Chios. Στοιχηδόν (excepté *A*). — Haussoullier, *Bull. de Corr. Hell.*, III (1879), p. 230 s. — Rœhl, I.G.A., 381 (*Imag.*, 2^e éd., p. 51, n° 15). — Cauer, 496. — Bechtel, *Inschr. d. Ion. Dial.*, 174. — Roberts, 149 (cf. p. 343 s.). — Hoffmann, *Griech. Dial.*, III, n° 80, p. 39 s. — Cf. Blass, *Satura philologa*, p. 127 s. — Studniczka, *Athen. Mitth.*, XIII (1888), p. 164.

A. ....|.ος· ἀπὸ τούτο μέχρι [τῆς] | τριόδο, ἣ 'ς Ἑρμώνοσσαν [φ]|έρει, τρές· ἀπὸ τῆς τριόδο ἄ[χ]|ρι Ἑρμωνόσσης ἐς τὴν τρίοδ||ον ἕξς· ἀπὸ τούτο μέχρι τὸ | Δηλίο τρές· σύνπαντες ὅρ|οι ἑβδομήκοντα πέντε. | Ὅση τῶν ὅρων τούτων ἔ|σω, πᾶσα Δοφῖτις. Ἢν τίς τ||ινα τῶν ὅρων τούτων | ἢ ἐξέλῃ ἢ μεθέλῃ ἢ ἀ|φανέα ποιήσει ἐπ' ἀδικί|ῃ τῆς πόλεως, ἑκατὸν σ|τατῆρας ὀφειλέτω κἄτι||μος ἔστω· πρηξάντων δ' ὁ|ροφύλακες· ἢν δὲ μὴ πρή|ξοισιν, αὐτοὶ ὀφειλόντω|ν· πρηξάντων δ' οἱ πεντε|καίδεκα τὸς ὁροφύλακας· || ἢν δὲ μὴ πρήξοισιν, ἐν ἐπ|αρῆι ἔστων. —

B. ..... οἱ [π|εν]τεκα[ίδεκ]|α ἐς βολὴ[ν ἐν]|εικάντων [ἐν] | πέντ' ἡμέρῃ[ι]||σιν· τὸς δὲ κή|ρυκας διαπέ|μψαντες ἐς τ|ὰς χώρας κηρ[ρ]|υσσόντων κα|ὶ διὰ τῆς πόλ|εως ἀδηνέως | γεγωνέοντε|ς, ἀποδεκνύν|τες τὴν ἡμέρ||ην ἣν ἂν λάβω|ισιν, καὶ τὸ π|ρῆχμα προσκ|ηρυσσόντων | ὅ τι ἂμ μέλλῃ||ι πρήξεσθαι· κἀγδικασάν|των τριηκοσ|ίων μὴ 'λάσσο|νες, ἀνηρίθε||υτοι ἐόντες. —

C. [.......] ἢν δέ τι|ς τὸς πριαμένος ἀποκληΐ|ηι] ἢ δικά[ζηται, τὸς ἀποκλ|η]ϊομένος ἡ [πό]λις δεξαμ[έ|ν]η δικαζέσθω, κἂν ὄφλῃ, [ὑ]||περαποδότω· τῶι δὲ πρια[μ]||ένωι πρῆχμα ἔστω μηδέν· [ὃ]|ς ἂν τὰς πρήσις ἀκρατέα[ς] | ποιῆι, ἐπαράσθω κατ' αὐτ[ô] | ὁ βασιλεός, ἐπὴν τὰς νομ[α]|ίας ἐπαρὰς ποιῆται. — || Τὰς γέας καὶ τὰς οἰκί<ε>α[ς]| ἐπρίαντο· τῶν Ἀννικῶ πα[ί]|δων Ἱκέσιος Ἡγεπόλιος π|εντακισχειλίων τριηκ|ο]σίων τεσσ[ερ]ακόντων, Ἀθ[η]ναγ|ό[ρ]η|ς Ἡροδότο χειλί|ω|ν ἑπτακοσίων· Θαργελέο|ς| Φιλοκλῆς Ζηνοδότο τὰν |Ε| ὑάδησιν δισχειλίων ἑ[π]|τακοσίων, Θεόπροπος κ' Ο[ἰ]||νοπίδης τἀγ Καμινήηι χ|ε||ιλίων καὶ ὀκτακοσίων [ἑπ]|τά· Κήφιος τὰ ἐμ Μελαίνῃ[ι] | Ἀκτῆι τρισχε(ι)λίων ἑπτακ|οσίων ἐνενηκόντων Βία[ς] | Ἀσίω. —

D. ..ρο[......] | χ|ειλίων ἐνα|κοσίων· Λεύκ|ιππος Πυθῶ τ||ὴν οἰκίην τ[ὴ]|ν Ἀνδρέος π[ε]|ντακοσίων π|εντηκόντων | δυῶν ⁝ Ἄσμιος || Θεόπομπος Ἀ|γυαίο τὰν Οἴ|ωι χειλίων τ|ριηκοσίων δ|έκων δυῶν ⁝ Ἱ||κεσίο τὸ Φίλ|ωνος Στράτι|[ο]ς Λυσῶ τοἰκ|[ό]πεδον διηκ|οσίων ἑνός. —

1384-86. Actes de vente.

1384. Athènes. (iii[e] s. av. J. C.) — Lamelle de plomb trouvée au Cynosarge. — Anderson, *Annual of the British School at Athens*, III (1896-97), p. 112 s.

Ὠφελίωνα [τὸ]λ λιθολόγον | τὸν Θευδότου, Σωφρονίδα Ὠφελίων[ος] | ἐπρίατο παρ' Ἐπιγένευς Ἐπ[ήρ]ατο[ς.

1385. Amorgos. (Fin du iii[e] s. av. J.-C.) — Stèle carrée trouvée à Mallia (Amorgos). — Weil, *Athen. Mitth.*, I (1876), p. 345. — Dittenberger, 438. — Cf. Dareste, Haussoullier, Reinach, *op. cit.*, I, p. 105 et p. 135 s. — Guiraud, *Propriété foncière en Grèce*, p. 266 et p. 432. — Billeter, *Gesch. des Zinsfusses*, p. 62.

Θεοί. | Ἐπ' ἄρχοντος Φανοκράτους, μηνὸς | Ἀνθεστηριῶνος. Ἀπέδοτο Νική|ρατος καὶ Ἡγεκράτη καὶ ὁ κύριο[ς] || Τελένι[κ]ος Κτησιφῶντι Πυ....|που τὰ χωρία καὶ τὴν οἰκί[α]ν κ[α]ὶ | τὸγ κέραμον πάντα ἃ ἔχε[ι] διε|λόμενος Νικήρατος πρὸς τὸν | ἀδελφὸν Ἀνοίνην, καὶ τὰ χωρία || ἃ ἐπρίατο Νικήρατος παρὰ Ἰσχυρί|ωνος ἅπα[ν]τα, καὶ· τὰ χωρία ἃ ἔχει | θέμενος [Νικήρ]ατος παρὰ Ἐξακέσ|του, ἁπάντων [ἀρ]γυρίου δραχμῶν | πεντακισχιλίων, ἐπὶ λύσει· || ὑποτελεῖ δὲ μίσθωμα Νικήρατος | Κτησιφῶντι καθ' ἕκαστον ἐνιαυ|τὸν ἀργυρίου δραχμὰς πεντα|[κ]οσίας ἀτελεῖς. — Le marbre porte, l. 5, ΤΕΛΕΝΙΝΟΣ.

1386. Amphipolis. (iii[e] s. av. J.-C.) — Stèle trouvée près d'Amphipolis. — Kirchhoff, *Hermes*, II (1867), p. 171. — Dittenberger, 439.

Ἀγαθῆι τύχηι. Ἐπρίατο Θειοχάρης Νικέα π|αρὰ Θεοδώρου τοῦ Πολέμωνος τὴν οἰκ[ί]αν, ἧι γ|είτων Μεννέας Ἀσάνδρου καὶ Θεόδωρος αὐτ|ὸς καὶ Νικάνωρ Ἐπικράτους, χρυσῶν τριακ||οσίων. Βεβαιωτὴς Δημόνικος Ῥίχνου. Μά|ρτυρες· Στησίλεως Ὀργέως, Ἀριστογένη|ς Ἀστίνου. Ἐπὶ ἱερέως τοῦ Ἀσκληπιοῦ Ἑρ|[μαγ]όρα· ἐπὶ ἐπιστάτου Αἰσχύλου.

1387. Ténos. **Registre des ventes immobilières**. (iii[e] s. av. J.-C.)

Plaque de marbre blanc trouvée à Ténos, actuellement au British Museum. — C.I.G., 2338. — Newton, *Greek Inscr. in the Br. Mus.*, 377. — Dareste, Haussoullier, Reinach, *Inscr. Jurid. Gr.*, VII (I, p. 64 s.). — Cf. Szanto, *Wiener Stud.*, IX (1887), p. 289 s. — Guiraud, *La propriété foncière en Grèce*, p. 265 s. — Lipsius, *Bedeutung d. griech. Rechts*, p. 12 s. — Hitzig, *Das griechische Pfandrecht*, Munich, 1895, p. 111 s. — Le texte est trop long pour que nous le reproduisions en entier, nous donnons le titre (l. 1) et la dernière partie qui est la mieux conservée.

Κατὰ τάδε πράσεις ἐγέ]νοντο χωρίων [καὶ οἰ]κιῶν καὶ προικ[ῶν] δόσεις [ἐ]π' ἄρχοντος Ἀμ[ει]νό[λα πρὸς τ]οὺς ἀστυ[νόμου]ς

Un fragment d'un registre analogue
provenant de Ténos est publié dans
le *Musée Belge*

VI (1902), p. 4[illegible]

H. Demoulin

[Σ]ωσίν[ομον --- Ἀγαθεὶ τύχει· ἐπ᾽ ἄρχοντος Ἀ[μ]ειν[ό]λα· [μ]ηνὸς Βουφονιῶνος πέμπτει ἱσταμένου. Φανικὼ Πασιφίλου ἐκ πόλεως μετὰ κυρίου Πασιφίλου Φιλήμονος | ἐκ πόλεως παρ᾽ Ἰφικρίτης Χαιρέλα Ἐλειθυαΐδος μετὰ κυρ[ί]ου Τιμοκράτο[υ] Χαιρέλα Χαβυσσίου Θεστιαδῶν ἐπρίατο τὴν οἰκίαν καὶ τὰ χωρία τὰ ἐν Ἐλειθυαίωι κα[ὶ τὰ]ς ἐσχα[|τιὰς καὶ τὰ ὕδατα τὰ προσόντα τοῖς χωρίοις καὶ τὰ σκεύη ὅσα ἐστὶν τῆς γεωργίας οἷς γείτονες Χαριππίδης Κλεαγό[ρα]ς δραχμων ἀργυρίου οκτακισχιλίων· πρατῆρες καὶ μέ[σωι καὶ χωρὶ[ς] Τιμοκράτης Χαιρέλας Χαβυσσίου Θεστιάδαι. — Ἔπανδρος Ἡ[γέ]λεω Κλυμενεὺς παρὰ Φανικῶς Πασιφίλου ἐκ πόλεως μετὰ κυρίου Πασιφίλου Φιλήμονος ἐκ πόλεω[ς] | ἐπρίατ[ο] τῶν χωρίων καὶ τῆς οἰκίας τῶν ἐν Ἐλειθυαΐωι πάντων τὰ ἡμίση καὶ τῶν ἐσχατιῶν πάντων ὧν ἐπρίατο Φανικὼ παρὰ Ἰφικρίτης οἷς γείτονες Κλεαγόρας Χαριπ[πί]|δης δραχμῶν ἀργυρίου τετρακισχιλίων· πρατῆρες καὶ βεβαιωταὶ τῶν χωρίων καὶ τῆς οἰκίας Φιλή[μω]ν Πασιφίλου ἐκ πόλεως, Πασίφιλος Φιλήμονος καὶ μέσωι καὶ χωρίς. — |

Ἐπ᾽ ἄρχοντος Ἀμεινόλα· μηνὸς Βουφο[νι]ῶνος. Ἀλκίππη Κλεοφάνου Ἐ[λ]ε[ιθυ]αΐς μετὰ κυρίου Ἡγέλεω Ἐπάνδρου Κλυμενέως παρὰ Καλλιῶς Διομήδου Θεστιαδῶν καὶ κυρίου Διαίτ[ου] || Ποσειδωνίου Θεστιάδου ἐπρίατο τὴν οἰκίαν τὴν ἐν ἄστει ἥ ἐστιν ἐν τόνωι [τρ]ίτωι ἧι γείτονες Πολύαινος Ἀπήμαντος πᾶσαν ὅσην ἐπρίατο Καλλιὼ καὶ ὁ κύριος Δίαιτος παρὰ Θεοδίππου | δραχμῶν ἀργυρίου ἐνακοσίων· πρατὴρ Κλεαγόρας Μενίππου Ἐλειθυαιεύς. — Ἀριστοκύδης Τελ[εσ]αγόρου Ἡρακλειδ[ῶ]ν παρὰ Σωκλέους Λευκίππου Θρυησίου ἐπρίατο τὰ χωρία τὰ | ἐν Νοθιαδῶν ἃ ἐπρίατο Λεύκιππος παρ᾽ Ἀριστύλου πάντα [οἷς γε]ίτων Φιλοκλῆς, καὶ τὴν οἰκίαν κ[αὶ] τὰ σκεύη ὅσα ἐστὶ τῶν χωρίων καὶ ὕδατος ἀγωγὰς τὰς οὔσας τῶν χωρίων δραχμῶν ἀργυ|ρίου δισχιλίων πεντακοσίων· πρατῆρες Πολυμνήστης Ἀν[τι]χάρο[υ] Θεσ|τιάδης Δ. . των. . οκλέους Θρυήσιος.

Βουφονιῶνος πέμπτει ἱσταμένου. — Ἀρτύμαχος Ἀριστάρχου Ἡρακλε[ι]|δῶν παρὰ Θεσπιέως Θεσπιέως ἐκ πόλεως καὶ Ἀριστώνακτος Ἀριστολόχου Θεστιάδου καὶ κο[ι]νοῦ Θεοξενιαστῶν συνεπαινοῦντος καὶ συνπωλοῦντος Εὐθυγένους || ἐπρίατο τὴν οἰκίαν καὶ τὰ χωρία τὰ ἐν Ἰακίνθωι τὰ καλούμενα Σωσ[ηρ]ίεια, ἃ ἐπρίατο Θεσπιεὺς καὶ Εὔβιος καὶ κοινὸν Θεοξενιαστῶν παρ᾽ Εὐθυγένους, οἷς γείτονες Ἀστύμαχος | Πλείσταρχος δραχμῶν ἀργυρίου τριακοσίων συνεπαινοῦντος Εὐφράνορος. — Θεσπιεὺς

Θεσπιέως ἐκ πόλεως καὶ Ἀριστῶναξ Ἀριστολόχου Θεστιάδης καὶ κοινὸν | [Θ]εοξενιαστῶν παρ' Ἀστυμάχου Ἀριστάρχου Ἡρακλείδο[υ ἀ]νεπρίατο τὰ χωρία τὰ ἐν Ἰακίνθωι τὰ καλούμενα Σωσηρίεια πάντα ὅσα ἐπρίατο Ἀρτύμαχος παρὰ Θεσπι|έως καὶ Ἀριστών[ακ]τος καὶ κοινοῦ Θεοξενιαστῶν οἷς γείτονες Ἀρτύμαχος Πλείσταρχος δραχμῶν ἀργυρίου τριακοσίων συνχωρούσης καὶ συνεπαινούσης Μαντῶς | Δημοκρίνου ἐκ πόλεως μετὰ κυρίου Ἀρτυμάχου Ἀριστάρχου Ἡρακλείδου· πρατῆρες Δημοκρίνης Δημονίκου ἐκ πόλεως, Δημόνικος Θεόφρων Δημονίκου ἐκ πόλεως. — || Φῶκος Φωκίωνος Θρυήσιος παρ' Ἀθηνάδου Ἀμφιθέου Θεστιάδου οὗ κύριος Ἀναξίθεος Ἀθηνάδου Θεστιάδης ἐπρίατο τὴν οἰκίαν καὶ τὸ χωρίον τὸ ἐν Ἐλειθυαίωι δραχμῶν | ἀργυρίου χιλίων τετρακο[σί]ων ἃ ἀ[πέ]δωκ[ε] Φῶκος Ἀθηνάδει δανειζόμενος παρ' Ἀθηνάδου χιλίας καὶ τετρακοσίας δραχμάς, ο[ἷ]ς γείτων Φάραξ Νεοπτόλεμος.

Ἀπατου|ριῶνος δωδεκάτει. — Ἀμφικλῆς Φανοκλέους Ἐσχατιώτης παρὰ Θεοκλείας Πασιφίλου ἐκ πόλεως μετὰ κυρίου Θεαινέτου Πασιφίλου ἐκ πόλεως ἐπρίατο ἐν τῶι ἄστει | ἐν τόνωι ἑβδόμωι τὸ μετέωρον οἴκημα τὸ ἐπ[ὶ τῆι] εἰσόδωι κα[ὶ κ]έραμον τὸν ἐπόντα καὶ θύρας τὰς ἐπούσας καὶ δίοδον εἰς τὴν οἰκίαν ἧι γείτονες Φάραξ Λεώδαμας | - - - - -

Le marbre porte, ligne 117, ΩΝΕΠΡΙΑΤΟ.

Affranchissements d'esclaves.

Sur l'ensemble des actes suivants, voir : E. Curtius, *Anecdota Delphica*, Berlin, 1843, p. 10 s. — Foucart, *Mémoire sur l'affranchissement des esclaves sous forme de vente à une divinité*, Paris, 1867 = *Archives des Missions scientifiques*, III, p. 375 s. — Büchsenschütz, *Besitz und Erwerb*, Halle, 1869, p. 168 s. — Wallon, *Hist. de l'Esclavage dans l'Antiquité*, 2e éd., Paris, 1879, I, p. 334 s. — E. Curtius, *Gesammelte Abhandlungen*, II, p. 393 s. — Beauchet, *Droit privé de la république athénienne*, II, p. 472 s.

1388. MESSÉNIE. (1re MOITIÉ DU IIIe S. AV. J.-C.) — Stèle de marbre trouvée dans le temple d'Artémis Limnatis, maintenant au musée de Mavromati. — Wilhelm, *Athen. Mitth.*, XVI (1891), p. 349 s. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 4642. — Voir plus haut d'autres affranchissements sous forme de dédicaces, nos nos 1074-77.

- - - ἀντίθητ]ι Πετραίαν | [τᾶι Λιμνάτι. Εἰ] δέ τίς κα κατα|[δουλίζηται Π]ετραίαν, ἀποτει|[σάτω δέ]κα μνᾶς ἀργυρίου || [ἱαρὰ]ς τᾶι Λιμνάτι· προστατευέ[τω] δὲ ὅσστις κα χρήζηι ὑπὲρ | Πετραίας ὡς ἐλευθέρας | ἐάσας νόμωι πόλεος.

1389. Olympie. (v^e s. av. J.-C.) — Plaque de bronze. — Kirchhoff, *Arch. Zeit*, 1879, p. 49 s. — Rœhl, I.G.A., 552. — Blass, *Samml. Griech. Dial.-Inschr.*, 1161. — Dittenberger et Purgold, *Inschr. von Olympia*, 12.

Ἐπὶ - - -]αΐτα, [μ]ενὶ | Ἀγ - - λαΐδας ἀφε̃κ|ε ἐλευθάρως ⁝ τὸν ἀπὸ Σ φίνγας ⁝ γόνον ⁝ ἰαρὸς τô || Διὸς τô Ὀλυνπίο ⁝ καὶ Πιτθὸ [σ]||υνέφα ⁝ Ἀγέδα θυγάτερ· ⁝ Δαΐοχος, | Μίδας ⁝ Ἀρισστέας ⁝ Χίλον ⁝ Χαρόξ|α ⁝ Καυχάξα ⁝ Ἐπεδίον ⁝ Ἐπάνδ|ρος ⁝ Νυκρίας ⁝ Βαιύλος, | Ἀμίας ⁝ τυτθόν . . .|νον αὐτὸν πόσιν - - -

1390. Mantinée. (101 et 100 av. J.-C.) — Sur une pierre encastrée dans la fontaine de Tschipiana (Arcadie). — *A* : Lebas-Foucart, 352^n. — *B* : Lebas-Foucart, 352^o. — Dittenberger, 444. — Cf. Mitteis, *Reichsrecht und Volksrecht*, p. 376. — Fougères, *Mantinée*, p. 343.

A. Ἐπὶ ἱερέος τῶι | Ποσιδᾶνος Ἀπ|ολλωνίου, δεκ|τῆρος δὲ Μάρκου | τοῦ Τίτου, ἔτους ἑ|βδόμου καὶ τεσαρα κοστοῦ, διαθήκης ἀν|αγνωσθείσης γ', μην|ὸς τρίτου τριακάδι, Πιτ|ύλος Ποσειδίπ(π)ου ἀφῆ|κε τὰν ἰδίαν θεράπαιν|αν ἐλευθέραν Σαφὼ | καὶ τὸ ἐξ ἑατᾶς παιδίον | Ὀνησιφόρον μηδενὶ μη|δὲν προσήκοντες.

B. Ἐπὶ ἱερέος τῷ Ποσιδ|ᾶνι Γοργίππου, τοῦ τὸ | ἕκτον καὶ τεσσερακοσ|τὸν ἔτος ἱερατεύσαν||τος, οἱ ἀποκαρυχθέντες | ἐλεύθεροι· Πιτύλος Πο|σειδίππου τὸν ἴδιον θρ|επτὸν Λυκολέοντα ἀφ|ῆκεν ἐλεύθερον παραμ|είναντα αὐτῷ τὸν τᾶς | ζωᾶς χρόνον.

1391. Thespies. (ii^e s. av. J.-C.) — Au musée d'Érimocastro. — C.I.G.S., I, 1779.

Ε]ὐρυμείλω ἄρχον τος· ἀφίειτι Σά ων Ἀτ|έ|αν ἐλεύ θερον ἐναντία || τῶ Ἀσκλαπιῶ | κὴ τῶ Ἀπόλλων|ος· Ϝίστορες Ἀν|τι[μέ]νων, Ἄσιος, | Ἀθανόδωρος, || Εὔφραστος.

1392. Lébadée. (iii^e s. av. J.-C.) — Stèle de marbre blanc encastrée dans une chapelle en ruines. — Foucart, *Bull. de Corr. Hell.*, IV (1880), p. 96 s. — Larfeld, *Syll. Inscr. Boeot.*, 71. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 425. — Cauer, 325. — C.I.G.S., I, 3083. — Cf. G. Foucart, *De libertorum conditione*, p. 28.

Θιός. Τούχα ἀγα|θά. — | Ϝαστίαο ἄρχοντος | Βοιωτῦς, ἐν δὲ Λεβα||δείη Δόρκωνος· Δωΐλος | Ἰρανήω ἀντίθειτι τὸν | Ϝίδιον θεράποντα Ἀν|δρικὸν τῦ Δὶ τῦ Βασιλεῖϊ | κὴ τῦ Τρεφωνίυ ἱαρὸν εἶ μεν, παρμείναντα παρ | τὰν ματέρα Ἀθανοδώ ραν Ϝέτια δέκα, καθὼς ὁ | πατεὶρ ποτέταξε. Ἠ δέ κα | ἔτι δώει Ἀθανοδώρα, εἴσι || Ἀνδρικὸς φόρον τὸν ἐν τῆ | θείκη γεγραμμένον· ἠ δέ τί | κα πάθει Ἀθανοδώρα, παρμ|ενῖ Ἀνδρικὸς τὸν περιττὸν || χρόνον παρ Δωΐλον, ἔπιτα ἱα ρὸς ἔστω μεὶ ποθίκων μει θενὶ μειθέν. Μεὶ ἐσσεῖμε ν δὲ καταδουλίτταcθη Ἀνδρικὸν μειθενί. Ἀν δρικὸν δὲ λειτωργῖμεν || ἐν τῆς θοσίης τῶν θιῶν | <ων> οὕτων.

1393. Orchomène. (iii^e s. av. J.-C.) — Autel rond dans le monastère de Scripou. — Decharme, *Arch. des Missions scient.*, 1867, p. 486. — Larfeld, *Syll. Inscr. Boeot.*, 27. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 497 (cf. I, p. 394). — Cauer, 300. — Latyschev, *Bull. de Corr. Hell.*, VIII (1884), p. 68. — C.I.G.S., I, 3200. — S. Reinach, *Traité d'Épigr. gr.*, p. 118 s.

Ἀπολλωνίδαο ἄρχον|τος ἱαρειάδδοντος Ἀντι γένιος Σωκράτιος, ἱαραρχιό|ντων Ἀγεισινίκω Σουκράτιος, || Σωσιβίω Πουθίλλιος, | ἀντίθειτι Θίων Δαματρίχ|[ω] τὸν Ϝίδιον Ϝυκέταν Ἀκρίσιον | ἱαρὸν εἶμεν τῶ Σαράπιος κὴ τᾶ[ς] | Ἴσιος, κὴ μεὶ ἐξεῖμεν μει||θενὶ ἀφάπτεστη μειδὲ κα|ταδουλίτταστη· ἠ δέ κά τις ἐφά|πτειτη, κούριος ἔστω ὁ ἱαρεὺς κὴ τὺ | ἱαράρχη κὴ τὺ σούνεδρυ σουλῶντες κὴ | δαμιώοντες.

1394. Chéronée. (ii^e s. av. J.-C.) — Stèle carrée inscrite de deux côtés; au musée de Chéronée. — Stamatakis, Ἀθήναιον, IX (1880), p. 353. — Larfeld, *Syll. Inscr. Boeot.*, 53^d. — Meister, *Samml. Griech. Dial.-Inschr.*, 385. — Cauer, 317. — C.I.G.S., I, 3303. — Cf. Hatzidakis, Ἀθήναιον, X (1881), p. 81.

Καλλικῶνος ἄρχω, μεινὸς Δαματρίω πεντεκηδεκάτη. | Πούριππος Προξένω ἀντίθειτι ἱαρὰν τὰν Ϝιδίαν θεράπη||[να]ν Ἀφροδιτίαν τῦ Σαράπι, παραμείνασαν ἀσαυτῦ κὴ τῆ γου|[νη]κὶ αὐτῶ <γ> Ἀγαθεί[νη] ἇς κα ζώωνθι, τὰν ἀνάθεσιν ποϊόμε||[νο]ς διὰ τῶ σουνεδρίω κατ τὸν νόμον, κὴ κατέβαλε τῦ ταμίη | [τῦ] ἐπὶ τῶν ἱαρῶν τὸ γινιούμενον, δραχμὰς Ϝίκατι παραχρεῖμα.

1395. Chéronée. (ii^e s. av. J.-C.) — Base de marbre portant plusieurs inscriptions; encastrée dans le mur d'une église. — C.I.G., 1608. — Lebas-Foucart, 797. — Latyschev, *Athen. Mitth.*, VII (1882), p. 32. — C.I.G.S., I, 3322.

Ἄρχοντος Διοκλέους τοῦ Σιμμίου, μηνὸς | Ὁμολωΐου πεντεκαιδεκάτῃ· Δεξξίπ|πα Ἀθανίου, παρόντος αὐτῇ τοῦ ἄνδρος | Σαμίχου τοῦ Φιλοξένου, ἀνατίθησι || τὰς ἰδίας δούλας Καλλίδα καὶ Πῦθιν | καὶ τὸ ἐκ τῆς Καλλίδος παιδάριον, ᾧ ὄ|νομα Νίκων, ἱεροὺς τῷ Σεράπιδι, παρα|μίναντας Δεξίππᾳ Εὐβούλου, τῇ κατὰ φύ|σιν μου μάμμῃ, πάντα τὸν τῆς ζωῆς αὐ||τῆς χρόνον ἀνενκλήτως· τὰ δὲ γεν|νηθέντα ἐξ αὐτῶν ἐν τῷ τῆς | παραμονῆς χρόνῳ ἔσστωσαν | δούλα Δεξξίππας τῆς Ἀθανίου· | τὴν ἀνάθεσιν ποιουμένη διὰ || τοῦ συνεδρίου κατὰ τὸν νόμον.

1396. Chéronée. (ii^e s. av. J.-C.) — Base de marbre gris portant plusieurs inscriptions; au musée de Chéronée. — Stamatakis, Ἀθήναιον, IX (1880), p. 319. — C.I.G.S., I, 3376.

Ἄρχοντος ἐγ Χαιρωνείαι Ἀρίστωνος, | μηνὸς Ἀγριωνίου πεντεκαιδεκάτῃ, | Θέων Θεομνήστου Φανατεὺς ἀνέθη|κεν ἐγ Χαιρω-

νείαι ἱερὸν τῶι Σαράπι τ||ὸν ἴδιον θρεπτὸν ὃν εἶχε οἰκογενῆ, ὧι ὄνο|μα Σώσων, τὴν ἀνάθεσιν ποιούμενος | διὰ τοῦ συνεδρίου κατὰ τὸν νόμον Χαι|ρωνέων. Ἐξενεγκάτω δὲ Σώσων τὸν | ἔρανον ὃν συνάγαγε Θέων ἐμ Φανατεῖ, || τὸ ὑπὲρ Θέωνος ὄνομα, ἕως ἂν τέλος λά|βῃ ὁ ἔρανος. Τὴν δὲ οἰκίαν, ἧς ἔχει τὴν κτ|ῆσιν Ἁρμέας Ἀρίστωνος Φανατεὺς πε|πιστευμένος παρὰ Σώσωνος, κομισέ|σθω Σώσων τὸ ἐπ' αὐτῇ δάνειον, καὶ κελευ||σάτω ἀποδοῦναι <τ> τὴν ὠνὴν τῆς οἰκίας | Ἁρμέαν Θέωνι. Μάρτυρες· Ἀρίστων Ἁρμέου, | Εὔδαμος Ἐχεκράτης οἱ Εὐφάνεος Φανατεῖς, | Ἐράτων Ἀμινίου, Ἀντίγων Ἀριστογείτονος, | Πυρρίνας Ὁμολωΐχω Χαιρωνεῖς. —

1397. Delphes. (200 av. J.-C.) — Sur le mur pélasgique. — Haussoullier, *Bull. de Corr. Hell.*, V (1881), p. 408, n° 15. — Dittenberger, 446. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 2116.

Στραταγέοντος τῶν Αἰτωλῶν Δαμοκρίτου Καλυδωνίου, μηνὸς Δίου· | ἐν Δελφοῖς δὲ ἄρχοντος Μαντία καὶ ἱερέων Εὐκλέος, Ξένωνος, μηνὸς | Ποιτροπίου, ἐν δὲ Ἀμφίσσαι ἄρχοντος Λαμπρία, μηνὸς Παναγυρίου. | Ἐπρίατο ὁ Ἀπόλλων ὁ Πύθιος παρὰ Σωσιβίου Ἀμφισσέος ἐπ' ἐλευθερίαι || σῶμ[α] γυναικεῖον, ἇι ὄνομα Νίκαια, τὸ γένος Ῥωμαίαν, τιμᾶς ἀργυρίου | μνᾶν τριῶν καὶ ἡμιμναίου. Προαποδότας κατὰ τὸν νόμον Εὔμναστος | Ἀμφισσεύς. Τὰν τιμὰν ἀπέχει, τὰν δὲ ὠνὰν ἐπίστευσε Νίκαια τῶι Ἀπόλλωνι | ἐπ' ἐλευθερίαι. Μάρτυροι· Φιλοκράτης Δαμοφάνεος, Εὔαρχος Δίωνος, Ὀρθόλαος | Παυσανία, Ἀριστόδαμος Τιμοδάμου, Μεγακλῆς, Λύκος Νικομάχου, Μνασίλαος Εὐδαμίδα, Δρωπίνας Ἄνδρωνος, Τίμων Ἀναξία, Πύθων, Γοργίας Νίκωνος, | Παυσανίας, Ἀγασίδαμος, Ἀμφισσεῖς, Καλλίας Μάχωνος, Σιμάδας Σκόπα, | Πολεμαῖος, Δάμαρχος Τίμωνος, Εὐθύδαμος Ξενοφάνεος, Τήλεφος, Ἡρωΐδας, | Σωγένης Ὀνομάρχου, Κρατίδας Ἡρακλειῶται, Ἀνδρόβολος Κυτινιεύς, Δρωπίνας | Καλλιπολίτας, Κλέων ὁ ναοκόρος, Εὐκλῆς ὁ ἱερεύς, Δάμων Δελφοί. Ἁ ὠνὰ || κεῖται ἔν τε τῶι ἱερῶι τοῦ Ἀπόλλωνος παρὰ Κλέωνα τὸν ναοκόρον καὶ Φιλοκρά|τη, Εὔ[α]ρχον, Ἀριστόδαμον Ἀμφισσεῖς, Καλλίαν Ἡρακλειώταν, | Δρωπίναν Καλλιπολίταν.

1398. Delphes. (197 av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 336. — Dittenberger, 447. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 2001.

Στραταγέοντος Φαινέα, μηνὸς Πανάμου· ἐν Δελφοῖς δὲ ἄρχοντος | Ἐμμενίδα, μηνὸς Βουκατίου. Ἐπὶ τοῖσδε ἀπέδοτο Δαμέας ὁ παρὰ τοῦ βασιλέως Ἀττάλου ὁ ἐπὶ τῶν ἔργων τῶν βασιλικῶν |

Ἀρτεμιδώραν τὰν βασιλικὰν παιδίσκαν τῶι Ἀπόλλωνι τῶι Πυθίωι, || ἀργυρίου στατήρων τεσσαράκοντα τριῶν, καθὼς ἐπίστευσε | Ἀρτεμιδώρα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποιεῖν | ὅ κα θέληι, εἶμεν εἶ κα θέληι. Βεβαιωτὴρ κα(τὰ) τὸν νόμον· Ἐτυμώνδας | Δελφός. Μάρτυρες· τοὶ ἱερεῖς, καὶ ἰδιῶται Νικόδαμος, Ὀρθαῖος, | Πολύκλειτος, Θεύτιμος Ἀμφισσεύς.

1399. Delphes. (193 av. J.-C.) — Sur le mur pélasgique. — Couve et Bourguet, *Bull. de Corr. Hell.*, XVII (1893), p. 344, nº 2. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 2240.

Ἄρχοντος ἐν Δελφοῖς Ἐκεφύλου, μηνὸς Ἡραίου. Ἐπὶ τοῖσδε ἀπέδοτο Θρασυκλῆς Εὐδόκου Δελφὸς Πυρρίαν τῶι Ἀπόλλωνι τῶι Πυθίωι ἀργυρίου | μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Πυρρίας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι | αὐτὸν ἐλεύθερον εἶμεν, ποιέοντα ὅ κα θέληι. Βεβαιωτὴρ κατὰ τὸν νόμον· || Ἀναξανδρίδας. Μάρτυρες· Πιστέας, Νικόμαχος, Πεισίστρατος, | Ἀριστίων, Ἄνδρων.

1400. Delphes. (191 av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 320. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1985.

Στραταγέοντος Ἀρχεδάμου, μηνὸς Δίου· ἐν Δελφοῖς δὲ ἄρχοντος Φαίνιος, | μηνὸς Ποιτροπίου. Ἐπὶ τοῖσδε ἀπέδοτο Μενοίτας Κριτολάου Θρονιεὺς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Βιβία, τὸ γενὸς | Ῥωμαίαν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Βιβία τῶι θεῶι | τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον τὸν πάντα βίον καὶ ποιέουσαν ὅ κα θέλῃ. Βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ τὰν συμβο|λάν· Λέων Λύκου Αὐγαιεύς. Μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ | ἄρχοντες Ἀνδρόκριτος, Κλεόδαμος, ἰδιῶται Δαμοχάρης, Εὐκλείδας, | Ἀρίσταρχος Δελφοί, Πολεμίτας, Τιμάγορος, Σύμμαχος, Δεξιεῖς.

1401. Delphes. (178 av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 406. — Dittenberger, 451. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 2071.

Ἄρχοντος ἐν Δελφοῖς Πραξία, μηνὸς Ἀπελλαίου. | Ἄσανδρος Μενάνδρου Βεροιαῖος ἀνατίθησι τῶι | Ἀπόλλωνι τῶι Πυθίωι ἐλευθέραν ἐμ παραθήκηι | Εὐπορίαν τὴν αὐτοῦ παιδίσκην καταβεβλημκυῖαν || δραχμὰς Ἀλεξανδρείας διακοσίας. Συμ|παραπεμψάτω δὲ Ἄσανδρον εἰς Μακεδονίαν | καὶ ἔστω οὕτως ἐλευθέρα. Μάρτυρες· | Μένανδρος Εὐφρονίου, Ἀμύντας Λάτου, | Παράμονος Καλλιστράτου.

1402. Delphes. (174 av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 134. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1799. — Cf. Foucart, *Mémoire cité*, p. 403.

Ἄρχοντος Σωσινίκου, μηνὸς Βυσίου. Ἐπὶ τοῖσδε ἀπέδοτο Λάρισα τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Μιθραδάτης, τὸ γέ νος Καππάδοκα, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Μιθραδάτης τῶι θεῶι τὰν ὠνάν. Βεβαιωτὴρ κατὰ τὸν νό|μον τᾶς πόλιος· Μνάσων Ξένωνος Δελφός. Παραμεινάτω δὲ Μιθραδάτης παρὰ Λάρισαν ἄχρι κα ζώῃ Λάρισα ἀνεγκλήτως ποιέων τὸ | ποτιτασσόμενον πᾶν τὸ δυνατόν· εἰ δὲ μὴ παραμείναι Μιθραδάτης ἢ μὴ ποέοι πᾶν τὸ ποτιτασσόμενον δυνατὸς ἐών, κυρία ἔστω Λάρισα κο λάζουσα ὧι κα θέληι τρόπωι ἢ ὅν κα Λάρισα κελεύσῃ, πλὰμ μὴ π[ω]λησάτω· εἰ δέ τί κα πάθῃ Λάρισα, ποιησάτω τὰ νομιζόμενα πάντα Μιθραδάτης ἐκ τῶν Λαρίσας | ἐξ ὧν κα ἔχῃ βέλτιστα ἐν τῶι πρώτωι ἐνιαυτῶι, εἴ κα ὁ καιρὸς αὐτῶι ἐκποιῇ, καὶ εἴ τί κα ἦται περισσὸν τῶν Λαρίσας, αὐτὸς ἐχέτω, εἴ κα μὴ ὁ υἱὸς αὐτᾶς ἐπανέλθῃ· | εἰ δέ κα ἐπανέλθῃ πρὸ τοῦ τὰ νομιζόμενα συντελέσαι, παραδοὺς Μιθραδάτης τὰ Λαρίσας πάντα τῶι υἱῶι τῶι Λαρίσας ἐλεύθερος ἔστω· εἰ δὲ κα μὴ παρα[γ]ένη|ται, ποιήσας τὰ νομιζόμενα Μιθραδάτης ἐλεύθερος ἔστω καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα χρόνον, κυριεύων αὐτοσαυτοῦ καὶ ἀποτρέχων οἷς κα θέλῃ· εἰ δέ τίς | κα ἅπτηται Μιθραδάτεος ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ὁ βεβαιωτὴρ Μνάσων· εἰ δέ κα μὴ παρέχῃ βέβαιον τῶι θεῶι τὰν ὠνάν, [πράκτι]||μος ἔστω Μιθραδάτει τε αὐτῶι καὶ ἄλλωι τῶι θέλοντι ὑπὲρ Μιθραδάτη κατὰ τὸν νόμον. Ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συλέοντες Μιθραδάτην | ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι οἱ συλέοντες πάσας δίκας καὶ ζαμίας. Μάρτυροι· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας καὶ οἱ ἄρχοντες Ἀλκῖνος, Ἀνδρομένης, Δρομοκλείδας, | ἰδιῶται Μαντίας, Φρῦνος, Καλλείδας.

1403. Delphes. (173 av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 167. — Dittenberger, 453. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1832. — Cf. Foucart, *Mémoire cité*, p. 413 s.

Ἄρχοντος Αἰακίδα τοῦ Φιλαιτώλου, μηνὸς Δαιδαφορίου. Ἐπὶ τοῖσδε ἀπέδοτο Ἀμύντας | Σωσία Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωτήριχος, τὸ γένος | Θρᾶικα, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καθὼς ἐπίστευσε Σωτήριχος τῶι θεῶι τὰν ὠ:νάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιῶν ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ.

Βεβαιωτὴρ κατὰ τὸν νόμον· Δαμένης Ὀρέστα. Παραμεινάτω δὲ παρὰ Ἀμύνταν Σωτήριχος ἔτη ὀκτὼ ἀνενκλήτως· εἰ δὲ ὁ μὲν φαίη ἀνενκλήτως παραμένειν | καὶ μηθὲν κατὰ Ἀμύντα κακὸν πράσσειν μηδὲ κατὰ τοῦ υἱοῦ Ἀμύντα, Ἀμύντας δὲ εἰ ἐνκαλέοι ἢ ὁ υἱ|ὸς αὐτοῦ Ἀμύντας Σωτηρίχῳ, κριθέντω ἐν ἄνδροις τρίοις οὓς συνείλοντο, Διοδώρῳ Μνα|σιθέου, Κλευδάμῳ Κλέωνος, Ἀρχελάῳ Θηβαγόρα. Ὅ τι δέ κα οὗτοι κρίνωντι ὀμόσαντες, || τοῦτο κύριον ἔστω. Εἰ δέ τι ἀνθρώπινον γένοιτο περί τινα τῶν κοινῶν ἐν τοῖς ἐτέοις τοῖς γε|γραμμένοις, ἐφελέσθων ἄλλον ἀντ' αὐτοῦ, καὶ ὁ ἐφαιρεθεὶς κρινέτω μετὰ τῶν καὶ ὡς συ|νηρημένων· εἰ δὲ μὴ θέλοι Ἀμύντας ἢ Σωτήριχος, ἀντὶ τῶν ἀπογενομένων κοινῶν, εἴτε | ἑνὸ[ς] εἴτε πλειόνων, συνεφαιρεῖσθαι τοὺς κοινοὺς τῶι θέλοντι αὐτῶν ἐφαιρεῖν, καὶ κύρι|οι ἐόντω οἱ καταλ[ι]πόμενοι εἴτε εἷς εἴτε πλείονες εἶεν οἱ κρίνοντες καθὼς ἐπάνω γέγραπται. Ἄρ[χ]||ει τοῦ χρόνου μὴν Ποιτρόπιος ὁ ἐπ' Αἰακίδα. Εἰ δέ τί κα πάθῃ Ἀμύντας ἐν τοῖς ὀκτὼ ἐτέοις, παραμε|νέτω Σωτήριχος παρὰ τὸν υἱὸν αὐτοῦ Ἀμύνταν ποιῶν πάντα καθὼς ἐπάνω γέγραπται, ἄχρι κα διε|ξέλθωντι τὰ ὀκτὼ ἔτη· τὸ δὲ ἔγκλημα μὴ μακρότερον ἐπικαλείσθω διμήνου· ἐπεὶ δέ κα διεξέλ|θῃ ὁ χρόνος τὰ ἔτη τὰ ὀκτὼ καὶ παραμείνῃ Σωτήριχος παρὰ Ἀμύνταν τὸν ἀποδόμενον | καὶ τὸν υἱὸν Ἀμύνταν, ἀποτρεχέτω Σωτήριχος οἷς κα θέλῃ. Εἰ δέ τίς κα ἅπτηται Σωτηρί||χου, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀμύντας καὶ ὁ υἱὸς αὐτοῦ Ἀμύν|τας, καὶ ὁ βεβαιωτὴρ Δαμένης βεβαιούτω· ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἔστω συλέ|οντες Σωτήριχον ἐπὶ τὸν θεὸν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. Εἰ δὲ μὴ πα|ραμείναι Σωτήριχος παρὰ Ἀμύνταν καθὼς γέγραπται, ἅ τε ὠνὰ ἀτελὴς καὶ ἄκυρος ἔστω | καὶ ὁ βεβαιωτὴρ μὴ βεβαιούτω. Εἰ δὲ μαλακισθείη Σωτήριχος, ὃ μὴ γίνοιτο, πλεῖον διμήνου, ἐ||παποδότω τοῦ πλείονος χρόνου Σωτήριχος Ἀμύντᾳ, καὶ ποτιπαραμεινάτω. Μάρτυρες· οἱ | ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄθαμβος, Ἀμύντας· ἰδιῶται Ἀριστίων Ἄγωνος, Ἧρυς Εὐδώρου, | Καλλίερος, Νίκων, Κράτων Νικοδάμου, Θεόφραστος, Κλεόδαμος Κλέωνος. Τὰν ὠνὰν | καὶ τὸ ὁμόλογον φυλάσσει Καλλίερος.

1404. Delphes. (171 av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 139. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1804.

Ἄρχοντος Κλευφάνεος, μηνὸς Θευξενίου. Ἐπὶ τοῖσδε ἀπέδοτο Ἰατάδας Πάτρωνος Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα γυναικεῖον ἆι ὄνομα Ἀφροδισία, τιμᾶς ἀργυρίου μνᾶν τεσσά-

ρων, συνεπαινεούσας καὶ Ἀρχίου. Κατενεγκάτω δὲ Ἀφροδι|σία τὸν ἔρανον τὸν Βρομίου οὗ ἐγγυεύει Ἰατάδας μὴ ἀκαταβολέουσα μηδὲ καταβλάπτουσα Ἰατάδαν· εἰ δὲ μὴ κατενέγ|και Ἀφροδισία τὸν ἔρανον ἢ κ̣αταβλάψαι τι Ἰατάδαν ἐκ τοῦ ἐράνου, ἀτελὴς καὶ ἄκυρος ἁ ὠνὰ ἔστω ἁ τῷ θεῷ. Ἐλευθέρα || δὲ ἔστω Ἀφροδισία τὸμ πάντα χρόνον, ποιήσασα τὰ γεγραμμένα τὰ ἐν τᾷ συνγραφᾷ, καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸμ πάντα χρόνον. Βεβαιωτῆρες κατὰ τόν νόμον τᾶς πόλιος· Ἀρίστων Νικοδώρου, Νικόδωρος Ἀρίστωνος, Μαντίας Κλευδάμου. Εἰ δέ τις ἅπτοιτο Ἀφροδισίας ἐπὶ καταδουλισμῷ κατενεγκάσας τὸν ἔρανον καθὼς γέγραπται καὶ ἀβλα|βέος γενομένου Ἰατάδα ἐκ τᾶς ἐγγύας, παρεχόντω βέβαιον τῷ θεῷ τὰν ὠνὰν ὅ τε ἀποδόμενος [Ἰατάδα]ς καὶ οἱ βεβαιω|τῆρες Ἀρίστων, Νικόδωρος, Μαντίας. Ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύρι' ἔστω(ν) συλέοντ[ες Ἀφροδισί]αν ὡς ἐλευ||θέραν οὖσαν ἀζάμιοι καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. Μάρτυροι· οἱ ἱερεῖς τοῦ [Ἀπόλλωνος] Ἄθαμβος, | Ἀμύντας καὶ ὁ ἄρχων Μελισσίων, ἰδιῶται Φίλων, Καλλίερος, Κλευφάνης.

1405. Delphes. (1re moitié du IIe s. av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 66. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1731.

Ἄρχοντος Ἄρχωνος τοῦ Νικοβούλου, μηνὸς Εἰλαίου. Ἐπὶ τοῖσδε ἀπέδοτο Εὐ|φρόνιος Ζωΐλου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Κίν|τος, τὸ γενὸς ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπί|στευσε Κίντος τὰν ὠνὰν τῶι θεῶι ἐφ' ὅτῳ ἐλεύθερος εἶμεν τὸμ πάντα || βίον καὶ ἀνέφαπτος ἀπὸ πάντων. Βεβαιωτῆρες κατὰ τὸν νόμον τᾶς πόλι|ος τῶν Δελφῶν Ἄθαμβος Ἀθανίωνος, Ἐμμενίδας Καλλία. Παραμεινάτω δ(ὲ) Κίν|τος παρὰ Εὐφρόνιον ἄχρι οὗ κα ζώῃ Εὐφρόνιος, ἀνένκλητος ὢν καὶ ποιῶν τὸ | ποτιτασσόμενον πᾶν καὶ τρέφων Εὐφρόνιον καὶ εὐσχημονίζων καὶ τὰς | συμβολὰς ἐν τὰς φυλὰς διδοὺς τὰ δίκαια ὑπὲρ Εὐφρόνιον καὶ ἐπεί κα ἀπο||θάνῃ, θαψάτω Κίντος καὶ τὰς ἀλλαθεάδας ποησάτω καθὼς νομίζεται | καὶ (ἐπεί κα) ποιήσῃ καθὼς γέγραπται, ἐλεύθερος ἔστω κατὰ τὰν ὠνὰν τοῦ θε|οῦ· εἰ δὲ μὴ ποιέοι τὸ ποτιτασσόμενον Εὐφρονίωι Κίντος ἢ μὴ τρέφοι | Κίντος, κύριος ἔστω Εὐφρόνιος ποιέων ὅ κα θέλῃ Κίντον. Μάρτυρες· οἱ ἱε|ρεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ οἱ ἄρχοντες || Χαρίξενος, Σώτιμος, Νικόμαχος καὶ ἰδιῶται[1] Διόδωρος, Μένης, Ἧρυς, Φίλαγρος.

1406. Delphes. (Milieu du IIe s. av. J.-C.) — Sur le mur polygonal. *B* gravé au-dessus de *A*, dans un espace laissé libre. — Wescher-Foucart, 84, 85. — Dittenberger, 455, 456. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1749, 1750.

A. Ἄρχοντος Κλέωνος, μηνὸς Ποιτροπίου. Ἀπέδοτο Ἀρχέλαος | Θηβαγόρα Δελφὸς σῶμα ἀνδρεῖον ὧι ὄνομα Κύπριος, τὸ γένος Κύπριον, τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν τριῶν. | Βεβαιωτήρ· Δεξικράτης Μνασιθέου. Παραμεινάτω δὲ Κύπριος παρὰ Ἀρχέλαον τὸν πωλήσαντ᾽ αὐτὸν μέχρι κα Ἀρχέλαος ζώιη· | εἰ δέ τί κα πάθηι Ἀρχέλαος, ἐλεύθερος ἔστω Κύπριος, καὶ ἀποτρεχέτω οἷς κα θέληι, ὥς κα τὸ πάθος γένηται περὶ Ἀρχέλαον· || ποταποτεισάτω δὲ τὸ ἐπίλοιπον τᾶς τιμᾶς, ἀργυρίου τρία ἡμιμναῖα, Θηβαγόρᾳ ἡμιμναῖον, Δωροθέωι ἡμιμναῖον, Ἀρχίαι ἡμιμναῖον. — | Ἀποτεισάτω δὲ τοῦτο τὸ ἀργύριον ἐν ἐνιαυτῶι, ἀφ᾽ οὗ κα τὸ πάθος γέν[η]ται περὶ Ἀρχέλαον. Ἁ δὲ ὠνὰ ἔστω τοῦ θεοῦ. Παρεχέτω δὲ Ἀρχέλαος | καὶ ὁ βεβαιωτὴρ Δεξικράτης βέβαιον τὰν ὠνὰν τῶι θεῶι· εἰ δέ τις ἐφάπτοιτο Κυπρίου, κύριος ἔστω συλέων καὶ αὐτοσαυτὸν καὶ ὁ παρατυγχά|νων ὡς ἐλεύθερον ἐόντα. Μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος Ἄρχωνος, Ἀμύντας Εὐδώρου, καὶ τῶν ἀρχόντων Ἧρυς Πλείστωνος· | ἰδιῶται Ἐκέφυλος, Κλέανδρος, Ἀλκέτας, Λύκος, Καλλίερος, Μνασίθεος, Ξενόκριτος. Τὸ ὁμόλογον παρὰ Καλλίερον.

B. Ἄρχοντος Ξενέα, μηνὸς Θεοξενίου. Ποταπέδωκε Κύπριος Δωροθέῳ | ἡμιμναῖον, Θηβαγόρᾳ ἡμιμναῖον, Ἀρχίᾳ ἡμιμναῖον, καθὼς αὐτοὶ εὐδό|κησαν, ὃ ἔδει αὐτὸν ἀποδόμεν, ἐπεί κά τι πάθῃ Ἀρχέλαος. Μάρτυρες· | οἱ ἄρχοντες Δάμων, Ξένων, Πολύων· ἰδιῶται Πύθων, Ἀστόξενος, || Καλλίας.

1407. Delphes. (Milieu du IIe s. av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 19. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1684.

Ἄρχοντος ἐν Δελφοῖς Εὐδώρου, μηνὸς Εἰλαίου· ἐν δὲ Ἀμφίσσαι ἄρ|χοντος Λυκώπου, μηνὸς Ἀμῶνος. Ἀπέδοτο Ἀριστομήδης Ἀντιγένε|ος Ἀμφισσεύς, συνευδοκέοντος καὶ τοῦ υἱοῦ Χαιρεδάμου, τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Καλλ(ι)κράτεια ἐνδογενῆ, καθὼς ἐπίστευσε Καλλικράτεια τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀ|πὸ πάντων τὸν πάντα βίον ποιοῦσαν ὅ κα θέλῃ, τιμᾶς ἀργυρίου μνᾶς, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν. Βεβαιωτῆρες κατὰ τὸ σύμβολον· Χαιρέδαμος Ἀριστομήδεος Ἀμφισσεὺς | καὶ Εὐάγγελος

Πάτρωνος Δελφός. Μὴ κυρία δὲ ἔστω Καλλικράτεια ἀπαλλοτριώου|σα τὰ ὑπάρχοντα εἰ ἀγενὴς μεταλλάξαι τὸμ βίον, μηδὲ τὰ ἐκ ταύτας τέκνα || εἰ ἀγενῆ μεταλλάξαιεν τὸμ βίον. Μάρτυροι· ὁ ἱερεὺς Ἀνδρόνικος καὶ ὁ ἄρχων Εὐκλῆς Καλ|λιστράτου, ἰδιῶται Κλέων Δαμοσθένεος, Μενέστρατος, Θεόφιλος Σωσιγένεος, Χαρίξενος Ἀστί|α, Σωσιγένης Εὐθυμίδα Δελφοί. —

1408. Delphes. (Milieu du IIe s. av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 53. — Dittenberger, 465. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1718.

Στραταγέοντος τῶν Φωκέων Καλλικράτεος [Ἐ]λατέος, μηνὸς ἕκτου· ἐν δὲ Δελφοῖς ἄρχοντος Ἄρχωνος τοῦ Καλ|λία, μηνὸς Θεοξενίου. Ἐπὶ τοῖσδε ἀπέδοτο Ἐπιχαρίδας Εὐδάμου Λιλαιεύς, συνευδοκεούσας καὶ τᾶς ματρὸς αὐτοῦ | Ἀριστοκρατείας, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀσία, τὸ γένος Σύραν, τιμᾶς ἀργυ|ρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπίστευσε Ἀσία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν || εἶμεν οἰκέουσαν ἐν Λιλαίαι καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίον ποιοῦσαν ὅ κα | θέλῃ. Βεβαιωτῆρες κατὰ τὰν συμβολάν· Διόδωρος Ἡράκωνος, Τιμοκλῆς Θρασέα Δελφοί. Εἰ δέ τις | ἅπτοιτο Ἀσίας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἐπι|χαρίδας καὶ οἱ βεβαιωτῆρες Διόδωρος καὶ Τιμοκλῆς· εἰ δέ κα μὴ παρέχωντι τὰν ὠνὰν βέβαιον τῶι θεῶι, | πράκτιμοι ἐόντω κατὰ τὰν συμβολὰν καὶ κα(τὰ) τοὺς νόμους, καὶ ὁμοίως κύριοι ἐόντω συλέοντες οἱ παρα||τυγχάνοντες Ἀσίαν ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. Μὴ οἰκησάτω δὲ Ἀσία ἔξω | Λιλαίας μηδὲ πολιτευσάτω ἄνευ τᾶς Ἐπιχαρίδα γνώμας· εἰ δὲ οἰκήσαι ἢ πολιτεύσαιτο, ἄκυρος αὐτᾶς | ἔστω ἁ ὠνὰ καὶ ἀτελής· ὡσαύτως δὲ μηδὲ ἀπαλλοτριωσάτω Ἀσία, εἴ τί κα ἐπεργάζηται, ἀπὸ Ἐπιχα|ρίδα ἢ τῶν ἐπινόμων αὐτοῦ κατὰ μηδένα τρόπον· εἰ δὲ ἀπαλλοτριωοίη <δε> καθ' ὁποῖον τρόπον, ἄκυ|ρος αὐτᾶς ἁ ὠνὰ ἔστω, καθὼς καὶ ἐπάνω γέγραπται. Ἐπεὶ δέ κα τελευτάσῃ Ἀσία, τὰ ὑπάρχον||τα αὐτᾶς πάντα ἔστων Ἐπιχαρίδα ἢ τῶν ἐπινόμων αὐτοῦ. Μάρτυρες· οἱ ἄρχοντες Κλέων | Δαμοσθένεος, Νίκαρχος Ἐράτωνος, Ἁγίων Ἐχεφύλου· ἰδιῶται Μαντίας Δαμοχάρεος, Ἀρχέλαος | Πυθοφάνεος, Μαντίας Φιλαιτώλου, Δέξιππος Νικαίου Δελφοί, Καφίσων Εὐκλείδα, | Στράτων Εὐάρχου Λιλαιεῖς. Ἁ ὠνὰ παρὰ μὲν Φωκῆ Καφίσωνα Εὐκλείδα | Λιλαιῆ, παρὰ δὲ Δελφὸν Μαντίαν Δαμοχάρεος.

1409. Delphes. (Milieu du IIe s. av. J.-C.) — Sur le mur pélasgique. — Wescher-Foucart, 213. — Dittenberger, 462. — Baunack, *Samml. Griech. Dial.-Inschr.*, 1878. — Cf. Foucart, *Mémoire cité*, p. 407 s.

